Idem p. 119, 16, Ἰωνόκυσος : κατεαγώς (fractus ac debilitatus, cinædus). οὕτως Κρ. Similis vox ex κυσολάκων Phot. p. 192, 12, Κυσολάκων : ὁ Κλεινία (Alcibiades), ὁ τῷ κυσῷ λακωνίζων. τὸ δὲ παιδικοῖς χρῆσθαι λακωνίζειν λέγουσιν· Μελαίνῃ γὰρ Θησεὺς οὕτως ἐχρήσατο, ὡς Ἀριστοτέλης. Probabiliter Mein. Ἑλένῃ (quæ tum vix decennis) et Ἀριστοφάνης.

70.

Idem p. 191, 12, Κυρηβάσασθαι : διαμαχέσασθαι. οὕτως Κρ. Codex Κυριβ., sed p. 190, 10 recte Κυρηβ.

71.

Idem p. 202, 22 : οἱ δ' οὖν Ἀττικοὶ τὴν πόλιν αὐτὴν οὐ μόνον Σπάρτην, ἀλλὰ καὶ Λακεδαίμονα καλοῦσιν· οὕτως Κρ. Hæc manca videntur : audiamus Ælium Dionysium Eustath. ad Il. 3, p. 294, 41 : Λακεδαίμονα καὶ Σπάρτην διορίζουσί τινες, Λακεδαίμονα μὲν πᾶσαν καλοῦντες τὴν Λάκαιναν, Σπάρτην δὲ τὴν μίαν πόλιν· Ἀττικοὶ δὲ αὐτὴν καὶ Λακεδαίμονα. Κρ. δὲ καὶ τὴν χώραν Σπάρτην οἶδεν, οὐ μόνον Λακεδαίμονα.

72.

Idem p. 210, 10, Λαυροστάται : οἱ μέσοι τοῦ χοροῦ· οἱονεὶ γὰρ ἐν στενωπῷ εἰσί. φαυλότεροι δὲ οὗτοι. οὕτω Κρ. Excidit in codice οἱ ante μέσοι.

73.

Idem p. 215, 1, Λεπάσται : κύλικές τινες οὕτως ἐκαλοῦντο. Κρ. V. Letronn. De nominibus vas. Gr. p. 56.

74.

Idem ib. 17, Λέρνη θεατῶν : ἀντὶ τοῦ κακὸν θέατρον. Κρ. οἱ μὲν διὰ τὴν ὕδραν (Hesiod. Th. 313 seqq.), οἱ δὲ διὰ τὸ τοὺς Ἀργείους τὰ καθάρματα ἐκεῖ (in Lernam paludem) ἀποφέρειν. ὁ γὰρ Δαναὸς ἐν τῇ Λέρνῃ τὰς κεφαλὰς τῶν Αἰγυπτιαδῶν ἀπέθετο (v. Apollod. 2, 5), καὶ, ὡς εἰκὸς, ἐφ' ὕβρει ἐκέλευσε τὰ δείσαια ἐκεῖ ῥίπτειν. Similiter h. v. Suidas, et ex eo Arsenius Ion. p. 334, qui recte ἀντὶ τοῦ κακὸν pro mendoso ἀντίκακον, quod habet Photius. « In

---

et irridentes manibus plaudamus.

Lerneam paludem quum cujusvis generis sordes abjicerentur, ingeniose Cr. proverbium Λέρνη κακῶν immutavit in Λ. θεατῶν ad significandam infimæ plebis colluviem, qua repletum erat Atticum theatrum. Hesych. Λέρνην θεατῶν ἔφη ὁ Κρ. διὰ τὸ σύμμικτον καὶ παντοδαπὸν ὄχλον ἔχειν. Pro δείσαια, quod a δεῖσα derivatum sordes ac stercus significat, Suidas δυσοιώνιστα. » *E M.*

75.

Idem p. 248 14, Μάσμα (a verbo μαίεσθαι : v. Plato Crat. p. 421, A. *M.*) : μάστευμα, ζήτημα. οὕτω Κρ.

76.

Idem p. 262, 28, Μελάγχρως καὶ μελάγχρης : ἀμφότερα Ἀττικά, μᾶλλον δὲ διὰ τοῦ η. Κρ.

77.

Idem p. 262, 26, Μετεκβολή : μεταβολὴ καὶ ἐξάλλαξις. Κρ.

78.

Idem p. 267, 10, Μηνυτήν : τὴν γυναῖκα. Κρ. « Hoc comice Cr. finxisse videtur Lobeckio Paralipom. 1, p. 271, ut Aristophanes ἡ γραμματεὺς et ἡ ῥήτωρ. » *M.*

79.

Idem p. 272, 1, Μισήτη : τὴν καταφερῆ μισήτην ἔλεγον· καὶ τὸ ἐν παροιμίας μέρει λεγόμενον « Περὶ σφυρὸν παχεῖα μισήτη γυνή » κατά τι τοιοῦτο εἰρῆσθαι δοκεῖ. καὶ ὁ Κρατῖνός που τοῦτο ἔφη·

Μίσηται δὲ γυναῖκες ὀλίσβοισιν χρήσονται.

Codex Μισητή (quod esset *odiosa*), μισητήν, παρὰ ... μισητή, quæ corrupta sensit Mein. Eustath. ad Hom. p. 1651 init. : ἄλλοι δὲ μισήτην βαρυτόνως, πρὸς διαστολὴν τῆς ὀξυτονουμένης, τὴν κοινὴν καὶ ῥᾳδίαν λέγοντες, καὶ χρῆσιν αὐτῆς εἶναι παρὰ Κρατίνῳ καὶ Σώφρονι, etc. Similiter Suidas et inde Apostolius 15, 69; item Hesych. v. Μισήτην, omisso nomine Cratini. « Itaque μισήτη est *virosa mulier et concubitus appetens*, μισητή *invisa*. Idem discrimen alii tradiderunt : v. Valck. ad Ammon. 18, p. 150. » *Mein.*

80.

Idem p. 272, 15, Μναρόν : μαλακόν, ἡδύ, ῥᾴδιον. οὕτω Κρ.

81.

Idem p. 338, 8, Ὄνου πόκαι : ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν, ὥσπερ αἱ τοιαῦται, Πλίνθον πλύνειν, Ἀσκὸν τίλλειν, Χύτραν ποικίλλειν, Εἰς κοπρῶνα θυμιᾶν. Ἀρίσταρχος δέ, διὰ τὸ Κρατῖνον ὑποθέσθαι ἐν Ἅιδου σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα. Eadem Suidas h. v., similia Proverb. Coisl. 372. Aristoph. Ran. 187 :

Τίς εἰς τὸ Λήθης πεδίον ἢ 'ς ὄνου πόκας;

« Ad cujus loci interpretationem si Aristarchus adhibuit Cratini fabulam de asino Ocni funem arrodente, legit fortasse apud Aristophanem Ὄκνου πλοκάς, eodem id sensu accipiendum, quo Iones θώμιγγα dicebant rem vanam et nihil profuturam. Videtur autem Cr. vel primus finxisse fabulam de Ocno ejusque asino, vel ob oculos habuisse Polygnoti nobilem picturam in Lesche Delphica, de qua pictura Pausanias Phoc. 39, 2 : πεποίηται μὲν πλέκων σχοινίον, παρέστηκε δὲ θήλεια ὄνος, ἀπεσθίουσα τὸ πεπλεγμένον ἀεὶ τοῦ σχοινίου. τοῦτον εἶναι τὸν Ὄκνον φίλεργόν φασιν ἄνθρωπον, γυναῖκα δὲ ἔχειν δαπανηρὰν, καὶ (fort. ὡς pro ὥστε) ὁπόσα συλλέξαιτο ἐργαζόμενος, οὐ πολὺ ἂν ὕστερον ὑπὸ ἐκείνης ἀνήλωτο. τὰ οὖν ἐς τοῦ Ὄκνου τὴν γυναῖκα ἐθέλουσιν αἰνίξασθαι τὸν Πολύγνωτον. Mire Plinius H. N. 35, 138, ubi similem Socratis picturam describit, ὀκνηρὸν intelligens Ὄκνον, quod videtur fuisse nomen proprium, « *piger* », *qui appellatur Ocnos, spartum torquens, quod asellus arrodit.* Pollux 4, 144, personas tragicas recensens : καὶ Πλειάδες, καὶ Ἀπάτη, καὶ Μέθη, καὶ Ὄκνος, καὶ Φθόνος. ἀλλὰ ταῦτα μὲν εἴη καὶ κωμικά. » *E M.*

82.

Idem p. 448, 19, Πριών : ὀξυτόνως, τὸ ἀρμένον (velum)· πρίων δέ, ὡς παίων, ὁ τέμνων τὸ ἄρμενον τούτῳ· τὸ δὲ πληθυντικὸν πρίονες διὰ τοῦ ο. Codex vitiose τὸ ἄρμενον, ὁ τέμνων τῷ ἀρμένῳ τούτῳ. Πρίονα sive serram intelligas, ut Soph. Trach. 660, sive serrantem, ut Vesp. 694, recte dicitur ὁ τέμνων τὸ ἄρμενον τούτῳ, secans aptum *huic*, τούτῳ, i. e. τῷ τέμνειν, *secando*, secabile, serrabile.

83.

Idem p. 460, 3, Προσίσχε : τὸ πρόσεχε. Κρ.

Καὶ μὴ προσίσχε βαρβάροισι βουκόλοις.

καὶ Εὔπολις·

Προσίσχε τὸν νοῦν τῇδε.

Cratini versum ad Bubulcos retulit Bergk. Commentt. p. 34.

79.
Virosæ autem mulieres olisbis utentur.

83.
Neque animum adhibe barbaris bubulcis.

84.

Idem p. 491, 28, Ῥύγχος : τὸ πρόσωπον. Κρ. καὶ ἕτεροι. Eadem Suidas.

85.

Idem p. 492, 2, Ῥύδην : σφοδρῶς καὶ ἀθρόως. οὕτω Κρ. Sic etiam Suidas. « Ῥύδην ante Cratinum Hipponax dixerat Athen. 7, p. 304, B. » *M.*

86.

Idem p. 496, 1, * Σάγρα : αἱ τοῦ............ (in codice totius versus lacuna) ἀλήθεια. οὕτω Κρ. His mancis subvenit Suidas, Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ : παροιμία ἐπὶ τῶν ἀληθῶν μὲν, οὐ πιστευομένων δέ. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ. E Menandro id proverbium commemorant etiam Zenobius 2, 17, et Apostolius 2, 42. Gesnerus Thes. L. L. « Sagra (Σάγρας Strabo) fluvius est in ora Magnæ Græciæ in Italia. Auctor Plinius 3, 10. Cicero De N. D. 2, 6 : *Quum ad fluvium Sagram Crotoniatas Locri maximo prœlio devicissent*, *eo ipso die auditam esse eam pugnam ludis Olympiæ*, *memoriæ proditum est*. Ibid. 3, 13 : *De Sagra Græcorum est vulgare proverbium*, *quo*, *quæ affirmant*, *certiora esse dicunt quam quæ apud Sagram*. » Fuerunt igitur, qui de narratione ista addubitarent, neque immerito.

87.

Idem p. 516, 1 : Σκανδάληθρα καὶ σκάνδαλα λέγουσι.

Σκανδάληθρ' ἱστὰς ἐπῶν.

Κρ. Ita Porsonus secundum Aristophanem Ach. 687. Codex Σκανδάλιθρα et σκανδαλίθρας τὰς ἐπῶν.

88.

Idem p. 531, 3, Σπιθαμή : τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου ἐπὶ τὸν μικρόν· τὸ δ' ἐπὶ τὸν λιχανὸν (sic corrige pro ἀπὸ τοῦ λιχανοῦ) λιχάς. τὴν δὲ σπιθαμὴν τινες καὶ δόχμην καλοῦσιν. οὕτως Κρ. Eustathius p. 1291, 45 : περὶ ἧς (τῆς δόχμης) Αἴλιος Διονύσιός φησιν οὕτως, « Δόχμη τὸ τετραδάκτυλον. Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ ὁ κωμικὸς ἐν τῷ

Οὗτοι δ' ἀφεστήκασι πλεῖν ἢ δύο δοχμά.

ἐν μέντοι, φησὶ, τοῖς ἀκριβεστέροις ἀντιγράφοις ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη, etc. Quem Cratini versum esse probabiliter conjecit Bergk. Commentt. p. 264.

89.

Idem p. 544, 6, Στρωματίτης : ἐν ᾧ (intell. οἴκῳ vel δείπνῳ) ἑαυτοῖς στρώματα παρεῖχον. οὕτως Κρ. Codex στρωματήτης ἐνῷ ἐναυτοῖς. Porsonum secuti sumus, nec tamen displiceret ἐν ᾧ ἂν αὐτοῖς, vel ἑαυτοῖς, σ. π.

90.

Idem p. 560, 23, Σφίγκτας : Κρ. τοὺς κιναιδώδεις καὶ μαλθακούς.

91.

Idem p. 562, 15, Σχιζίας : ὁ τετανὸς καὶ ἰσχνός. οὕτω Κρ. « Talem Herculem describit Dicæarchus Clem. Alex. Pæd. 2, p. 104 : σχιζίαν, νευρώδη, μέλανα, γρυπὸν, ὑποχαροπὸν, τετανότριχα. » *M.*

92.

Idem p. 632, 4 : Ὕπουλα γόνατα, καὶ ὕπουλον πόδα, καὶ ὕπουλον χεῖρα, καὶ σῶμα τὸ φλεγμαῖνον διά τινας πληγὰς καὶ ἐγγὺς τοῦ ἀφίστασθαι ὄν. Κρ. Eadem Suidas.

93.

Idem p. 656, 9, * Ψύφαρα (sic) τὸν Διόνυσον ἄγοντες : ἡ παροιμία παρὰ Κρατίνῳ. τὰ δὲ Ψύρα νησίδιον ἔρημον, πλησίον Χίου· λέλεκται δὲ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων. Legendum puto ἄγοντα. Stephanus Byz. p. 765 : λαμβάνεται δὲ τὸ ὄνομα (Ψύρα, sive Ψυρία) ἐπὶ εὐτελείᾳ, διὰ τὸ εὐτελεστάτην εἶναι τὴν νῆσον. Κρ. Ψυρᾷ (sic) τὸν Διόνυσον ἄγοντες. καὶ ἐν Νεμέσει Ψυρᾷ (sic) τε τὴν Σπάρτην ἄγεις. Ponamus Ψυρίᾳ utroque loco. « Itaque proverbialis dicendi forma fuit de re vili nulliusque pretii. Theognostus Bekker. Anecd. p. 1442, Ψυρὶς γῆ : λυπρὰ χέρσος. Eustath. ad Hom. p. 1462, 46 : Ψυρία δὲ νησίδιον, Χίου, φασὶν, ἀπέχον σταδίους ὀγδοήκοντα, λιμένα ἔχον νεῶν εἴκοσι. λέγεται δὲ καὶ οὐδετέρως τὰ Ψύρα, ὡς Ἀλκμάν « Παρά τε ἱερὸν Σχόπελον, παρά τε Ψύρα, τὸν Διόνυσον ἄγοντες, » ἤγουν ὡς οἷον ἐν οὐδενὶ τιθέμενοι τὸν Διόνυσον διὰ τὴν νήσου λυπρότητα (vulgo σκόπελον. Dedi Σχόπελον, quo intelligatur parva insula *ante Troada Ascaniæ*, Plin. 5, 31. *Both.*). Irrideri solebant hoc verbo convivæ segnes ad bibendum. Parœm. Bodl. p. 119, Ψύρα τὸν Διόνυσον : ἀντὶ τοῦ εὐτελῆ· νησίδιον γάρ ἐστι μικρὸν τὸ Ψύρα, μὴ δυνάμενον οἶνον ἐνεγκεῖν. εἴρηται ἐπὶ τῶν ἐν συμποσίῳ κατακειμένων καὶ μὴ πινόντων. » *E M.*

87.

Tendiculas verborum statuens.

88.

Illi vero abstiterunt plus quam duas dochmas.

92.

Genua ulcerosa.

93.

Psyra Bacchum celebrantia.

94.

Pollux 2, 7 : τόκος, τίκτει· ἐπίτεξ· ἐπίφορος καὶ ἐπίτοκος, ἢ τικτικός. τοκῶσα δὲ εἶπε Κρ.

95.

Idem ib. 10 : γενειῶν, γενειάσκων, πώγωνος ὑποπιμπλάμενος, ἢ πωγωνίας, ὡς Κρ.

96.

Idem ib. 17 : Φρύνιχος τὰς νέας μὲν ἀφήλικας λέγει, « Ἦσαν δὲ καὶ γυναικῶν (fort., completo senario, γυναικαρίων.) ἀφήλικες » Φερεκράτης δὲ τὴν γεραιτέραν ἀφηλικεστάτην, ὡς καὶ Κρ. « ἀφήλικα γέροντα. » Ita libri scripti; editi ἀμφήλικας, ἀμφηλικεστάτην, ἀμφήλικα, » quas formas græcas esse negat Lobeck. ad Phryn. p. 84. » *M.* Mirum tamen, pariter juniores et seniores dici ἀφήλικας, malimque νέας ἀμφήλικας, quasi dicas sensu nequiore metaphorico ἀμφιελίσσας, *utrimque remigatas*, ut proprie Eurip. Cycl. 15, ἀμφήρες δόρυ.

97.

Idem ib. 28 : Κρ. δὲ στημονίας κικίννους εἶπε τοὺς στήμονι ὁμοίους ὑπ' ἰσχνότητος. Hesych. Στημ. κικ. : τοὺς στήμοσιν ὁμοίους.

98.

Idem ib. 49 : ἔλεγον δὲ καὶ σύνοφρυς ἀνὴρ καὶ γυνή· τὸν δὲ τοιοῦτον καὶ μίξοφρυν καλεῖ ὁ Κρ.

99.

Idem ib. 78 : τὸ ταύτην (τὴν κόρυζαν) ἀφαιρεῖν ἀπομύττειν· τὸ δὲ ἀπεμύττετο « ἔκλυζε τὰς ῥῖνας » ἔφη Κρ. Vulgo ὑλίζεσθαι τὰς ῥ. Ms. Jungerm. ὕλιζε, sed alius ap. Cramer. Anecd. Ox. vol. 2, p. 4, ἔλυζε, quod ἔκλυζε esse intellexerit Cramerus.

100.

Idem ib. 124 : μικρολογεῖσθαι εἴρηκεν Εὔπολις, καὶ μικρολογήσομαι Κρ.

101.

Idem ib. 153 : Ἡρόδοτος (6, 129) εἴρηκεν ἐπὶ Ἱπποκλείδου τοῦ Ἀθηναίου, (ὅτι) τοῖς ποσὶν ἐχειρονόμησεν· ὁ δὲ Κρ. καὶ χειρονομησείοντας εἶπε. Addidi ὅτι, ne verba τοῖς π. ἐχ. ipsius Herodoti esse viderentur, qui dixit τοῖσι σκέλεσι ἐχειρονόμησε.

102.

Idem ib. 188 : γόνυ ἡ μετὰ μηροὺς συγκαμπή, ἀφ' οὗ καὶ τὸ γονατίζειν (genibus ferire) παρὰ Κρατίνῳ τῷ κωμῳδιοποιῷ. Perperam libri κωμῳδοποιῷ.

103.

Idem 3, 14 : ἄπαις, ἄτεκνος, φιλόπαις, φιλότεκνος, καὶ τὰ ὅμοια· παρὰ δὲ Κρ. ἔμπαις· πολύπαις, πολύτεκνος, εὔπαις, εὔτεκνος. Ita cod. Jungerm., trajectis quidem haud dubie verbis πολύπαις — εὔτεκνος, quæ inserenda sunt post φιλότεκνος. Vulgo Ἄπαις, ἔμπαις, ἄτεκνος, φιλότεκνος, μισότεκνος, μισόπαις, φιλοτεκνία, μισοτεκνία, καὶ παρὰ Κ-ῳ πολύτεκνος πολύπαις, εὔπαις εὔτεκνος. Ap. Bekkerum φιλόπαις, ἄτεκνος, ἄπαις, φιλότεκνος, μισόπαις, φιλοτεκνία, μισοτεκνία, μισότεκνος, καὶ παρὰ Κρατίνῳ εὔπαις (sic). Integrum versum Cratini Mein. produxit ex Hesychio v. Ἠνδρωμένη : ἀνδρὸς πεπειρωμένη.

Ἡ παῖς γὰρ ἔμπαις ἐστὶν ὡς ἠνδρωμένη.

104.

Idem ib. 64 : ἐθελέχθρως· ἐθέλεχθρον δὲ Κρ. λέγει.

105.

Idem ib. 75 : δουλοπρεπὲς δὲ καὶ δουλοπρεπέστερον Ξενοφῶν (Mem. 2, 8, 4.), καὶ δουλοπρεπέστατα Κρ.

106.

Idem ib. 92 : βαδιστικὸς παρὰ Ἀριστοφάνει (Ran. 128)· παρὰ δὲ Κρ. βαδισματίας. Similia πωγωνίας fr. 93, et στημονίας fr. 95 comparat Mein.

107.

Idem ib. 106 : εἴη δ' ἂν ἐν (addidi præpositionem) τούτοις καὶ ἐπιθανάτως ἔχειν, καί, ὡς Ἡρόδοτος (9, 72) ἐδυσθανάτει· οὗ τὸ ἐναντίον εὐθανάτως Κρ. λέγει.

108.

Idem 4, 184 : τάχα δὲ καὶ τὸ κοιλοφθαλμιᾶν, οὐκ ἴδιον δὲ (scrib. μὲν vel δὴ) ἐν ὀφθαλμοῖς γινόμενον νόσημα, συμβαῖνον δὲ κοιλαίνεσθαι τοὺς ὀφθαλμοὺς ἐξ ἄλλου νοσήματος.

Οὐδ' ὑδατοποτῶν, οὐδὲ κοιλοφθαλμιῶν.

Sic libri, neque opus est τῷ ὑδατοπωτῶν, quod placuit Porsono Advers. p. 284, quum ὕδωρ ancipitem habeat priorem (v. Il. 8, 368, Odyss. 17, 208); itaque producta υ littera verbi ὑδατοποτῶν nihil timendum sit metro. Magnopere aut fallitur aut depravatus est Ammonius, quum dicit de vocabulis πόμα et πῶμα : τὸ μὲν ἁπλοῦν διὰ τοῦ ο μικροῦ· ἐν δὲ συνθέτοις διὰ τοῦ ω μεγάλου, οἷον γαλακτοπωτεῖν καὶ ὑδροπωτεῖν· v. ibi Valck.

103.

Nam puella progeniem habet, utpote virum experta.

108.

Neque aquam bibens, nec cavis oculis.

109.

Idem 5, 68, de lepore : δασὺς τὴν τρίχωσιν καὶ τὰ ὕπτια τῶν ποδῶν, ἀλλ' οὐ μόνα (fort. μόνον) τὰ κρανῆ δασυνόμενος (hoc fort. delendum).... διὰ τοῦτό μοι δοκεῖ (recte Mein. δοκοῦσι) δασύποδα τὸν λαγὼν ἄλλοι τε καὶ Κρ. καλεῖν, ὄνομα ποιούμενοι τῷ ζώῳ τὴν φύσιν. Aristoteles H. A. 3, 8, 13 : τὰ μὲν οὖν ἄλλα ζῷα οὔτε ἐντὸς ἔχει τρίχας, τῶν τε ἀκρωτηρίων ἐν τοῖς πρανέσιν, ἀλλ' οὐχ ἐν τοῖς ὑπτίοις· ὁ δὲ δασύπους μόνος καὶ ἐντὸς ἔχει τῶν γνάθων τρίχας, καὶ ὑπὸ τοῖς ποσίν. Mirum cur dasypus etiam appelletur animal vulgo dictum *Armadill*: v. Stein. *Handb. d. Naturgesch.* p. 52.

110.

Idem 6, 21 : διωνωμένος δὲ καὶ κατῳνωμένος, ὡς Πλάτων (Legg. 6, p. 775, C, et 7, p. 815, C), καὶ ᾠνωμένοι, ὡς Κρ. Libri vitiose διοιν., κατοιν., οἰνωμένοι.

111.

Idem ib. 23 : καὶ οἰναγωγὸν πλοῖον παρὰ Κρ. « Ὁλκάδας οἰναγωγοὺς dixit Pherecrates Athen. 11, p. 481, E. » *M.*

112.

Idem ib. 61 : Κρ. δὲ καὶ χυλὸν πιεῖν εἴρηκεν,

Ἀλλ' εἴσιθ' εἴσω, καὶ πιοῦσα χυλὸν ἀναπαύου κακῶν.

Versus iambicus tetrameter. « Χυλὸς intelligendus ptisanæ succus, cujus frequens est memoria in medicamentis apud Hippocratem; v. Foesii OEcon. Hippocr. p. 685. Schol. Aristoph. Vesp. 810 : οἱ νοσοῦντες χυλὸν πτισάνης ῥοφοῦσι. » *E M.*

113.

Idem ib. 81 : καὶ παλάσια, ἃ καὶ Κρ. ἰσχάδα κοπτὴν καλεῖ· et 1, 242 : οἱ δὲ κωμῳδοὶ καὶ ἰσχάδα κοπτὴν λέγουσι, ubi duo libri λεπτήν.

114.

Idem ib. 161 · ἡμίλουτοι δὲ Κρ. εἴρηκε, καὶ Φιλύλλιος ἡμίπλεκτον.

115.

Idem ib. 163 : πανήμερος, πάννυχος· τοῦτον δὲ καὶ πανεύφρονα Κρ. καλεῖ. πανδοχεύς, πανδοχεύτρια, καί, ὡς Κρ., παναγάθη.

116.

Idem 7, 28 : ἐριοπῶλαι, ἐριοπωλεῖν, ἔρια οἰσυπηρὰ Ἀριστοφάνης (Ach. 1097), καὶ ἐρίων πιναρῶν πόκον Κρ. Et ib. 31 : καὶ πολύμιτος, ὡς Κρ. ἔφη.

117.

Idem ib. 38 : τοῦ δὲ κνάπτειν ἡγεῖται τὸ πατῆσαι, ὡς Κρ. ὑποδηλοῖ παίζων,

Τῇ μάστιγι κνάψειν εὖ μάλα,
πρὶν συμπατήσειν·

Libri γνάψειν, quod correxit Jungermanus. V. 2 πρὶν Bekkerus ex codd. suis; vulgo ἢ σ., Dobræus καὶ σ. « Metaphora ab opere fullonio petita est, cujus ordo erat, ut vestes primum pedibus conculcarentur, tum conculcatæ pecterentur : v. Schneider. ad Scriptores R. R. vol. 4, 3, p. 385. » *M.*

118.

Idem ib. 39 : ἐν ᾧ δὲ ἐξέπλυνον, οὐ μόνον λίτρον καὶ χαλαστραῖον λίτρον, ἀλλὰ καὶ ῥύπος, ὡς Κρ. ὠνόμασεν. « Codex χάρυπος, pro quo recte Jungermannus χαλαίρυπος. Hesych. Χαλαίρυπος : ὁ τῶν πλυνομένων ἱματίων ῥύπος. » *M.*

119.

Idem ib. 43 : ἴσως δὲ καὶ εὐσταλής, καὶ ὁ παρὰ Κρ. εὐπινής· τούτοις ἂν ἐνάριθμον εἴη καὶ τὸ εὐσταλῶς ἐπίρρημα. Perperam libri εὐπηνής, εὐτελής, quorum hoc una cum sequentibus deest in Ms. Jungermanni. « Πῖνος et εὐπινής non raro munditiem atque elegantiam et proprie et figurate significat, etc. » *M.*

120.

Idem ib. 142 : καὶ στίχον δὲ δένδρων λέγει Ξενοφῶν, καὶ ἐπεργασίας τὸ τὴν ἀλλήλων ἐργάζεσθαι, καλαμώμενον δὲ Κρ. εἴρηκε.

121.

Ibem ib. 179 : δακτυλιογλύφος· δακτυλιουργὸν αὐτὸν εἴρηκε Φερεκράτης· τὸ δὲ γλύφειν Κρ.

122.

Idem 8, 31 : ψευδομαρτυρία· Κρ. δὲ καὶ ψευδομαρτύριον εἴρηκεν.

123.

Idem 10, 143 : καὶ παλτά, καὶ σαρίσσας, καὶ σαυνία. τὸ (i. e. τοῦτο) μὲν ὄνομα ἐπ' ἀνδρείου ἐστὶ παρὰ Κρατίνῳ, ἐπὶ (δὲ addendum fortasse omisso τοῦ) τοῦ δόρατος ἐν Φιλαδέλφοις Μενάνδρου. Male Hesych. Σαυνίον : ἀκόντιον βαρβαρικόν, καὶ σαυνίον σαθρόν, χαῦνον, ἀσθενές, παρὰ Κρ. Male co-

---

112.

Jam intra domum, et ptisanæ potu te remitte a doloribus.

117.

— Fore ut eum flagello pectat probe,
antequam conculcet.

dex βαρβ., καὶ σαθρὸν, quasi σαυνίον significare posset σαθρὸν, etc. : immo continue scripta σα. σα-, quum σα. compendio indicaret σαυνίον, ansam præbuerint corruptioni. Rectissime enim Meinek. : « Cratinus dixisse videtur σαυνίον σαθρὸν de pene languido. »

124.

Phrynichus Præp. soph. p. 3, 25, Ἀνελκταῖς ὀφρύσι σεμνόν : ἀττικῶς αὐτὸ καὶ σεμνῶς Κρ. εἶπεν. His verbis irrisum esse Periclem, τὸν ἀγέλαστον, qui non potuit placere poetis ridentibus, sensit Mein. Quare scribam σιμῶς pro σεμνῶς, ut σιμὰ γελῶν eodem sensu. Sugillat Periclem Cr. etiam fragmento 142.

125.

Idem ib. p. 7, 10, Ἀναπηδᾶν ἐν δήμῳ : Κρ. ἐπί τινος ἀκόσμως ἐν ταῖς ἐκκλησίαις ἀναπηδῶντος.

126.

Idem ib. p. 8, 3 : οἱ μέντοι Ἀττικοὶ τὴν ἀρρωστίαν ἐπὶ τοῦ μὴ προθυμεῖσθαι μηδὲ ὁρμᾶν πρᾶξαι τιθέασι· τὸ γὰρ ἀντικείμενον τῇ τοιαύτῃ ἀρρωστίᾳ Κρ. εἶπε ἐρρῶσθαι, οἷον προθυμεῖσθαι.

127.

Idem ib. p. 13, 5, Ἁπαλὸς εἴσπλους λιμένος : ὥσπερ Ὅμηρος τοὺς δυσόρμους λιμένας τραχεῖς λέγει, οὕτω Κρ. ἐπὶ τῶν εὐόρμων τὸ ἁπαλὸν ἐκ τοῦ ἐναντίου εἶπε.

128.

Idem ib. p. 13, 17 : Ἀπονυχίζεσθαι τοῦ ὀνυχίζεσθαι ἀττικῶς διαφέρει· τὸ μὲν γὰρ σημαίνει τὸ τοὺς ὄνυχας ἀφαιρεῖσθαι, τὸ δὲ ὀνυχίζειν καὶ ἐξονυχίζειν (ἐστὶν hic addendum) ἐπὶ τοῦ ἐρευνᾶν ἀκριβῶς καὶ ἐξετάζειν τὸ ὑποκείμενον πρᾶγμα. Κρ. μέντοι τὸ ὠνυχισμένον ἐπὶ τοῦ τετμημένου τοὺς ὄνυχας τέθεικεν. Sensu medii dictum τετμημένου, ut ἀνεκομίσθη Thuc. 1, 109.

129.

Idem ib. p. 13, 20, Αὔεσθαι πῦρ, καὶ ἐναύεσθαι : Ἀριστοφάνης αὐόμενος, Κρ. ἐναύεσθαι.

130.

Idem ib. p. 28, 29, Ἀποτεμεῖν μηχανάς. Κρ.

Τούτου δ' ἁπάσας ἀποτεμῶ τὰς μηχανάς.

Melius legatur Ἀποτέμνειν in capite glossæ.

131.

Idem ib. p. 33, 18, Γαστροχάρυβδις : ἐπὶ τῶν κατεσθιόντων Κρ. εἶπε. Malim Γαστροχαρύβδις pro Γαστροχαρύβδιας vel Γαστροχαρύβδεις, quoniam plures devorantes dixit hic Noster.

132.

Idem ib. p. 39, 10, Ἐφιππάσασθαι λόγοις : οἷον καταδραμεῖν. Κρ.

133.

Idem ib. p. 42, 21, Θεόθυτα : ἃ οἱ πολλοὶ ἱερόθυτα καλοῦσι, Κρ. τὰ τοῖς θεοῖς θυόμενα ἱερεῖα.

134.

Idem ib. p. 51, 26, Μηδὲν ὑπέρφευ : Κρ. ἐπὶ τοῦ μηδὲν ἄγαν. Et p. 69, 17, Ὑπὲρ τὸ φεῦ : οἷον ὑπερβαλλόντως καὶ ἐκπληκτικῶς· τὸ γὰρ φεῦ ἐπὶ ἐκπλήξεως τίθεται. » Cf. Joannes Alex. De acc. p. 30, 25. » *M.*

135.

Idem ib. p. 59, 23, Προτηθυς : ἡ οὕτω γραῦς ὡς πρὸ Τηθύος τῆς Ὠκεανοῦ γεγονέναι γυναικός. Κρ. τὴν ὑπεργήρων οὕτω λέγει παίζων.

136.

Idem Eclog. p. 110, Ἀσπάραγος : καὶ τοῦτο δυοῖν ἁμαρτήμασιν ἔχεται, ὅτι τε ἐν τῷ π, καὶ οὐχ ἐν τῷ φ, λέγεται, καὶ ὅτι ἴδιόν τι φυτόν ἐστιν ἄγριον ὁ ἀσφάραγος, καὶ οὐχ ἐν τοῖς ἡμέροις καταλεγόμενον. ὁ γοῦν Κρ., ἐν ἄλλοις ἀγρίοις αὐτὸ καταλέγων, φησὶν

Αὐτομάτη δὲ φέρει τιθύμαλλον, καὶ σφάκον πρὸς αὐτῷ,
ἀσφάραγον, κύτισόν τε· νάπαισι δ' ἀνθέρικος ἐνηβᾷ,
καὶ φλόον ἄφθονον ὥστε παρεῖναι πᾶσι τοῖς ἀγροῖσιν.

ἅπαντα γὰρ τὰ καταλελεγμένα ἄγρια. οἱ δὲ νῦν τιθέασιν (ἀσφάραγον) ἐπὶ παντὸς (λαχάνου add. Mein.) ἀμαθῶς. Sic ille, quem laudat Schneider. in Lexico v. Ἀσπάραγος, dixit κράμβης ἀσπάραγον pro καυλόν. Versu 1 καὶ addidit Pauw., Hermannus autem Doctr. metr. p. 644, recte scripsit αὐτῷ pro αὐτὸ,

124.

Adductis superciliis venerabilem.

125.

Subsilire apud populum.

127.

Mollis invectu portus.

130.

Hujus omnes abscindam machinas.

131.

Ventre Charybdis.

135.

Sponte fert tithymallum, prætereaque salviam,
asparagum et cytisum; in convallibus autem anthericus rejuvenescit,
itaque abundans flos adest omnibus in agris.

idemque v. 2 νάπαισι pro ἐν ἅπασιν, et v. 3, ἀγροῖσιν pro ἀγρίοις. Ibidem Pauw. et Lobeck. φλόμον, sed bene habet φλόον, *florem* omnis generis, oratioque sic interpretanda est : καὶ ἐνηβᾷ οὕτως, ὥστε φλόον ἐφ. κ. κ. τ. ἀγρ. Pro ἄφθονον ed. pr. ἄφθορον. Versum 2 respicit Athen. 2, p. 62, E, cum Eustathio p. 899, 18.

137.

Idem ib. p. 145 : Ζωρότερον ὁ ποιητής (Iliad. 9, 203)· σὺ δὲ λέγε « εὔζωρον κέρασον, » καὶ εὐζωρότερον, ὡς Ἀριστοφάνης, καὶ Κρ., καὶ Εὔπολις.

138.

Idem ib. p. 360, Ὤρχωσε καὶ ὀρχώτης δ' ἐγώ: οὕτως Κρ. φησί· μᾶλλον διὰ τοῦ ω λέγε ἢ διὰ τοῦ ι, ὤρισεν. « Photius p. 254, Ὀρχώτας : οὐχὶ ὀρχιστάς, οὐδὲ ὀρκωμότας, λέγουσι, quorum illud apud Xenophontem aliosque legitimo accentu ὀρχωτὴν scribitur. » *Lobeck*. Egregie nuper Meinekius correxit Ὀρχωτὴς λέγω.

139.

Idem Epit. p. 433 : ἐχρῆν οὖν Κρατίνῳ πειθόμενον φαγᾶς εἰπεῖν. « Scilicet Menandri καταφαγᾶς ad imperitorum vulgus ablegat; v. Lobeck. » *E M.*

140.

Priscianus 18, p. 271 Krehl. · Χαμόθεν, *quod est a loco, Cratinus pro in loco posuit :* Ὅς τὴν πίτυν ἔκαμπτεν ἑστὼς χαμόθεν ἄκρας τῆς κόμης καθέλκων. *Melius tamen distinguendum* χαμαὶ *humi*, χαμόθεν *ab humo*, χαμᾶζε *in humum*. Manca sunt, quæ Krehl. edidit e codice Monacensi (quocum consentiunt 2 codd. Leidenses, nisi quod habent χαμάθεν utroque loco) *melius tamen est distinguendum* ἑστώς : *etiam bene a loco accipitur* χαμόθεν, *ab humo.* Scaligeri collatio : *Cratinus* ὅστ' ἐν πυτίνῃ. κλίνή' (κάμήτ' V. C.) ἐνεστὼς χαμόθεν ἄκρας τῆς κ. καθεῖλκεν, quasi ex Πυτίνῃ. Igitur scribamus

ὃς τὴν πίτυν
ἔκαμπτεν ἑστὼς χαμάθεν, ἄκρας τῆς κόμης
[ἕλκων] καθέλκων.

Ὃς intelligendus est Pityocamptes, ut annotavit Mein., qui addidit ἕλκων, secundum hæc Euripidis : Λαβὼν γὰρ ἐλάτης οὐράνιον κλάδον, κατῆγεν, ἦγεν, ἦγεν εἰς μέσον πέδον, Bacch. 1062.

141.

Plutarchus Solone c. 25 : ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε, καὶ κατεγράφησαν εἰς ξυλίνους ἄξονας, ἐν πλαισίοις περιέχουσι στρεφομένους,... καὶ προσηγορεύθησαν, ὡς Ἀριστοτέλης φησί, κύρβεις, καὶ Κρ. κωμικὸς εἴρηκέ που

Πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος, οἷσι νῦν
φρύγουσιν ἤδη τὰς κάχρυς τοῖς κύρβεσιν.

Recte Draconem quoque memorat, de quo Gesnerus in Thes. L. L. sic fere : « Antiquissimus Atheniensium legislator, cujus leges Solon præterquam quæ de cæde erant constitutæ, abrogandas curavit propter severitatem : nam una omnibus pœna erat imposita, ut etiam, qui desidiæ damnati essent, aut qui olera surripuissent, capite plecterentur. V. Gell. 11, 18. » Eadem e Plutarcho habet schol. Aristoph. ad Nub. 448. Ad Cratini Νόμους hæc retulit Bergk. Commentt. p. 139.

142.

Idem Pericle c. 13 : τὸ δὲ μακρὸν τεῖχος, περὶ οὗ Σωκράτης ἀκοῦσαί φησιν αὐτὸς εἰσηγουμένου γνώμην Περικλέους, ἠργολάβησε Καλλικράτης· κωμῳδεῖ δὲ τὸ ἔργον Κρ. ὡς βραδέως περαινόμενον,

Πάλαι γὰρ αὐτὸ
λόγοισι προάγει Περικλέης, ἔργοισι δ' οὐδὲ
κινεῖ.

Idem scripto De gloria Athen. p. 351, A : καίτοι καὶ τοῦτον (Periclem) ὡς βραδέως ἀνύοντα τοῖς ἔργοις ἐπισκώπτων Κρ. οὕτω πως λέγει περὶ τοῦ διὰ μέσου τείχους, Λόγοισι κτλ. « Medium murum dicit eum, qui inter Phalericum et Piraïcum, sive borealem, interjacebat; quem murum quia Pericles identidem se ædificaturum esse frustra promiserat, ea cunctatio poetæ irridendi viri opportunitatem præbuit. Ceterum, ne cui dissentire secum Plut. videatur, altero horum locorum τὸ μακρὸν τεῖχος, altero autem τὸ διὰ μέσου eadem in re dicens, tenendum est, vett. scriptores de boreali et medio, sive australi, muro nonnunquam ita loqui, ut ambo pro uno munimento habuisse videantur; idque propterea, puto, quia medius ille murus

---

138.

Juratus dico.

140.

— Qui pinum
curvabat humi stans, summaque coma
deorsum traxit.

141.

Per Solonem et Draconem, quibus nunc
jam torrent hordeum legum tabulis ligneis.

142.

Dudum enim murum illum
verbis promovet Pericles, re non movet tantillum.

quasi supplementum fuit borealis. Cf. Thuc. 2, 13, ex quo etiam intelligitur, quid sit quod Lysias C. Agor. p. 264 ed. Bekker. et Xenophon Hell. 2, 2, 15, non de tribus, sed de duobus tantummodo longorum murorum brachiis loquuntur. » *E M.*

143.

Schol. ad Luciani Jov. trag. vol. 2, p. 696 : ὁ μὲν Καλλίας οὗτος, ὡς Κρ. Ἀρχιλόχοις φησὶν, Ἱππονίκου υἱὸς ἦν, τὸν δῆμον Μελιτεύς, ὡς Ἀριστοφάνης Ὥραις, πλούσιος, καὶ πασχητιῶν, καὶ ὑπὸ πορνιδίων διαφορούμενος, καὶ κόλακας τρέφων. εἰς δὲ στιγματίαν αὐτὸν Κρ. κωμῳδεῖ, ὡς ἕνα τῶν κατάχρεων· οἱ γὰρ δανειζόμενοι τὰς κτήσεις ὑπετίθεσαν καὶ ἐπέγραφον αὐτὰς εἰς τὸ γινώσκεσθαι, ὅτι ὑποθῆκαί εἰσιν·... κωμῳδεῖ δὲ αὐτὸν Κρ. καὶ ὡς Φώκου (Φωκίων audit paulo post, homo cetera ignotus) γυναῖκα μοιχεύσαντα, καὶ τρία τάλαντα δόντα εἰς τὸ μὴ κριθῆναι. « Archilochos Cr. docuit olymp. 82, 4 (ante Chr. nat. 448), quo tempore Callias is, de cujus ære alieno et adulteriis loquitur schol., vixdum e pueris excesserat : obiit enim post olymp. 102, 2 (ante Chr. nat. 370); v. Hist. crit. Com. p. 134. Itaque apertum est, quem in Archilochis commemoravit Cr., Calliam esse majorem, Cimonis æqualem, et quæ de altero Callia referuntur, ex aliis Cratini fabulis petita esse : nam major ille quum opibus abundaverit, non sane intelligitur, quo jure στιγματίας dici potuerit; nec de adulteriis ejus quidquam ab aliis traditum est; optime autem et hæc, et quæ præterea homini vitio vertit scholiastes, conveniunt in alterum Calliam. » *E M.*

144.

Schol. Aristoph. Ach. 3 : τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθους λαμβάνεται διὰ τὴν συγγένειαν πρὸς τὸ καρκαίρειν· εἴρηται δὲ ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα· τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ἐστι « κάρκαιρε δὲ γαῖα πόδεσσιν » (Il. 20, 157)· μέμνηται καὶ Κρ.

Ἀνδρῶν ἀρίστων πᾶσα γαργαίρει πόλις.

Sic Küsterus; codd. ἀρίστων ἀνδρῶν, etiam Suidæ v. Ψαμμακοσιογάργαρα. Aristoph. apud schol. l. l. : Ἀνδρῶν ἐπακτῶν πᾶσ' ἐγάργαιρ' ἑστία.

145.

Idem Eq. 1287, Πολυμνήστεια : μέλη Πολυμνήστου Κολοφωνίου. κιθαρῳδὸς ἦν οὗτος. Κρ.

Καὶ Πολυμνήστει' ἀείδει, μουσικήν τε μανθάνει.

Phot. p. 441, Πολυμνήστει' ἀείδειν : γένος τι μελοποιίας. Κολοφώνιος δὲ ὁ Πολύμνηστος. « Poeta perantiquus, lascivorum carminum scriptor, de quo Fabric. Bibl. Gr. 2, p. 135, Bœckh. ad Pind. fragm. 87, Bergk. Commentt. p. 230. » *E M.*, qui merito miratur formam ἀείδει apud hunc nostrum et ἄειδε apud Menandrum (Ἐμοὶ μὲν οὖν ἄειδε τοιαύτην θεά). Neque adducor ut credam sic locutos esse Comicos, præterquam in locis poetarum alius generis, velut Pindari Eq. 1154. Itaque ponam, Καὶ Πολυμνήστειον ᾄδει, et apud Menandrum Ἐμοὶ μὲν οὖν σύ γ' ᾆδε τ., θ.

146.

Idem ib. 534 : ὁ Κοννᾶς αὐλητής (κιθαρῳδὸς νέος schol. Vesp. 644) ἦν καὶ μέθυσος, ὃς εἰς συμπόσια παρῄει συνεχῶς ἐστεμμένος· οὗτος ὀλυμπιονίκης γενόμενος, καὶ πολλάκις στεφανωθεὶς, πενιχρὸς ἦν, μηδὲν ἔχων, ἀλλ' ἢ τὸν κότινον· ἐφ' οὗ Κρ. εἶπεν

Ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε Λιμὸς
ἐχθαίρῃ· Κοννᾶς δὲ πολυστέφανος νικήσει.

Νικήσει, *vincet*, vincere solet; quod se non curare Cr. significat. Eadem Suidas v. Κοννᾶς, nisi quod ibi legitur quod nuper prætulit Mein. Κ. δὲ φιλοστέφανός σε φιλήσῃ, parodia versuum Hesiodi Op. 209 seqq.

Ἐργάζευ, Πέρση, δῖον γένος, ὄφρα σε Λιμὸς
ἐχθαίρῃ, φιλέῃ δὲ ἐϋστέφανος Δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν πίμπλησι καλίην.

Fortasse utrumque diversis temporibus placuit Cratino; de Conna cf. Mein. Hist. crit. Com. p. 201 seqq., qui non diversum putat a Conno fidicine, Socratis magistro. Equidem ἐπέχω, dedi autem apud Cratinum Λιμὸς, quo persona personæ opponeretur; v. Ovid. Met. 8, 791 seqq., Virg. Æn. 6, 276.

147.

Idem ib. 407, Τὸν * Ἰουλίου τ' (malim sane τόν τ' Οὐλίου γ', etc., quum Οὐλίας notus sit e Pindaro, ignotum vero nomen Ἰούλιος Græcis) ἂν οἴομαι γέροντα πυροπίπην : ὡς παιδεραστὴς οὗτος ὁ πρεσβύτης διαβάλλεται. παιδοπίπην δὲ (ita solus schol. in plerisque codd., sed in Taurino etiam

---

145.
Et Polymnesteum canit carmen, musicamque discit.
146.
Ede et ventri gratificare, ut Fames te

odio habeat; Connas autem multicoronus vincet
(*vel* : Connas autem coronarum amans te exosculetur).

ipse πυροπίπην, teste Peyrono ann. ad Etym. M. p. 999) τὸν παράγοντα καὶ παραχρουόμενον, καὶ ἀναπείθοντα (hæc duo glossemata verbi παράγοντα) τὰ μειράκια, τοῦτον δὲ ὁ Κρ. πυρροπίπην (immo πυροπίπην) λέγει, τουτέστι τὸν φύλακα τοῦ σίτου, ὡς (malim καὶ) εἰς τὸ πρυτανεῖον παρέχοντα ἄρτους. Etiam Eustathius invenisse videtur πυρροπίπης, qui ad Iliad. 11, p. 851, 56 : παίζων ὁ κωμικὸς πυρροπίπην σκώπτει τινὰ ὡς ὀπιπεύοντα τοὺς πυρρούς· et ad 7, p. 679, 39 : ὅθεν (ἀπὸ τοῦ ὀπιπεύειν) καὶ ὁ παρθενοπίπης (Iliad. 11, 385), καὶ ὁ πυρροπίπης δὲ παρὰ τῷ κωμικῷ· et ad 3, p. 380, 12 : καθολικώτερον δὲ τὸ γυναιμανής (Iliad. 3, 39) τοῦ παρθενοπίπης, ὡς καὶ τοῦ πυρροπίπης ὁ παιδοφιλής. Minus apte libri apud Eustathium ὀπιπτεύοντα.

148.

Idem ad Plut. 66 : ὅτι οὐ πρὸς ἕνα μόνον τὸ ὦ 'τᾶν, ἀλλὰ καὶ πρὸς δύο. καὶ Κρ. « Ἀρά γε, ὦ 'τᾶν, ἐθελήσετε; » Rectius Suidas v. Ὦ τᾶν, ἐθελήσετον. Scribam firmiore metro

— Ἆρα γοῦν,
ὦ 'τᾶν, ἐθελήσετον;

149.

Idem ad Av. 1536 : σωματοποιεῖ τὴν Βασιλείαν αὐτὸ τὸ πρᾶγμα ὡς γυναῖκα. Εὐφρόνιος, ὅτι Διὸς θυγάτηρ ἡ Βασιλεία... ἔστι δὲ καὶ παρὰ Κρατίνῳ ἡ Βασιλεία.

150.

Idem ad Nub. 788, ἐπιλησμότατον : ἔδει εἰπεῖν ἐπιλησμονέστατον. Ἄλεξις δὲ ἐπιλήσμη φησὶ, Κρ. δὲ ἐπιλησμοσύνη. Ita Suidas s. v. Ἐπιλησμότατον. Codex Rav. ἐπιλήσμονι, pro quo Abreschius proposuit ἐπιλησμονὴ, consentientibus Mein. et Bergk. Commentt. p. 256. Dindorfius ἐπιλησμόνη.

151.

Idem ad Thesmoph. 940 : πρὸς σανίσιν ἐδεσμεύοντο πολλάκις, ὡς καὶ Κρ. δηλοῖ. « De more maleficos ligneis tabulis alligandi v. Fritzsch. ad Thesmoph. p. 360. » *M.*

152.

Idem ad Vesp. 151 : τὸν ὑπεκλυόμενον οἶνον φασί τινες καπνίαν λέγεσθαι· ἐν δὲ τοῖς περὶ Κρατίνου διώρισται, ὅτι τὸν ἀπόθετον ἢ παλαιόν· διὸ καὶ Ἐκφαντίδην Καπνίαν καλοῦσι. De hoc cognomine v. supra p. 4. Hesych. v. Καπνίας : Ἐκφαντίδης... Καπνίας ἐπεκαλεῖτο διὰ τὸ μηδὲν λαμπρὸν γράφειν (sed « pro luce fumum » dare).

153.

Idem ad Av. 365, ἕλκε, τίλλε, παῖε, δεῖρε, κόπτε : καὶ Κρ.

Σφάττε, δεῖρε, κόπτε!

Δαῖρε scribo : v. ann. ad Nub. 436.

154.

Idem ad Vesp. 352 : ἔστι δὲ θηρίδιόν τι μικρόν (σέρφος). Κρ. δὲ μύρμηκά φησι τὸν σέρφον. οἱ δὲ ζωΰφιον κωνωπῶδες. Σέρφος est formica alata, vel culicum genus. « Fortasse Κράτης legendum est, ut grammaticus intelligatur, ut voluit Dobræus. » *E. M.*

155.

Idem ad Pac. 741 : ἐπεπόλαζε γὰρ τότε ταῦτα (ejusmodi argumenta comœdiarum), Ἡρακλῆς πεινῶν, καὶ Διόνυσος δειλὸς, καὶ μοιχὸς Ζεὺς, ὥστε καὶ αὐτοῖς δοκεῖν ἄχθεσθαι. Κρ.

Ὑπὸ δ' Ἡρακλέους πεινῶντος ἄγαν
ταῦτα καὶ σκώπτοντος οὐ βιωτόν ἐστιν.

Mendose libri αὐτοὺς, et apud Cratinum ἄγειν.... βοιωτὸν, sed Ven. ἄγει et recte βιωτόν. Ταῦτα, *sic*, ut Eq. 111, ubi v. ann. Posterior horum versuum est asynartetus, qui constat ex duobus troch. dim. brachycalecticis.

156.

Schol. Pindari Olymp. 6, 152, Εἰ φεύγομεν Βοιωτίαν ὗν : ὅτι διὰ τὴν ἀγροικίαν καὶ τὴν ἀναγωγίαν τὸ παλαιὸν οἱ Βοιωτοὶ ὕες ἐκαλοῦντο, καθάπερ καὶ αὐτὸς « Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔλεγον » καὶ Κρ.

Οὗτοι δ' εἰσὶν συοβοιωτοὶ, κρουπεζοφόρον
γένος ἀνδρῶν.

Ita Porson. præfat. Hecubæ p. 57, quum vulgo legeretur συοβοιωτικὸν πεζοφόρον, et in cod. Vratislav. D. συοβοιωτικαὶ πεζοφόρων. Hesych. Συοβοιωτοί : οἱ Βοιωτοὶ σύες. Photius p. 557, 2. Συβοιωτοί : σύες γὰρ ἐκαλοῦντ' οἱ πάλαι Βοιωτοί. Idem p. 180, 21, Κρουπέζαι : ξύλινα ὑποδήματα... οἱ δὲ κρόταλον, ὃ (malim ᾧ) ἐπιψοφοῦσιν οἱ αὐληταὶ, τὸ βάταλον. Pollux 7, 87 : κρουπεζοφόρους δ' εἶπε τοὺς Βοιωτοὺς Κρ. διὰ τὰ ἐν αὐλητικῇ κρούματα. « Respicit locum fortasse etiam Plutarchus De esu carn. p. 995, E,

148.

— An igitur,
amice, volebatis?

153.

Macta, excoria, pulsa!

154.

Propter Herculem famelicum
sic et irridentem non est vitalis vita.

156.

Hi sunt sues Bœoti, scabelliferum genus virorum.

ubi non nominato auctore afferuntur verba οὗτοι δ' αὖ σῦς. » *M.*

157.

Schol. Eurip. Rhes. 416, Ἄμυστιν : οἱ μὲν ποτηρίου εἶδος ἐπιτηδειότατα ἔχον πρὸς τὰς ἀμυστὶ πόσεις, ὡς ἐν Αὔγῃ... ἄλλοι δ' ἐπὶ τῆς ἀπνευστὶ πόσεως τάττουσι τὸ ὄνομα, ὡς Κρ.

Ἀλλ' οὖν θεῷ σπείσαντες ἄμυστιν δεῖ πιεῖν.

Codex θεὸν πείσαντες μῦστιν δεῖ πονεῖν. Correxit L. Dindorf., nisi quod σπείσαντ' posuit sine necessitate. Fortasse ad Πυτίνην referendum.

158.

Schol. Platonis Bekker. p. 330 : Ἀριστοφάνης. . ἐκωμῳδεῖτο ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρ.

• Τίς δὲ σύ; κομψός τις ἔροιτο θεατής·
ὑπολεπτολόγος, γνωμοδιώκτης, εὐριπιδαριστοφανίζων.

V. 1 Porsonus Miscell. p. 268 : τίς δὲ σὺ κομψός; πᾶς ἄν τις ἔρ. θ. V. 2 codex, ut videtur, γνωμιδιώκτης. Ad Pytinen referebat Runkelius.

159.

Schol. Sophoclis ad Antig. 404, Ὃν σὺ τὸν νεκρὸν Ἀπεῖπας. τὸ ἑξῆς· τὸν νεκρὸν, ὃν σὺ ἀπεῖπας θάπτειν. οὕτω δὲ χρῶνται οἱ παλαιοὶ, ὥστε δύο ἄρθρα, προτακτικόν τε καὶ ὑποτακτικὸν, κατὰ τοῦ αὐτοῦ ὀνόματος παραλαμβάνειν. Κρ.

Ὅνπερ Φιλοκλέης τὸν λόγον διέφθορεν.

« Λόγον dicere videtur argumentum tragœdiæ, quod Philocles corruperat, quem Aristophanes quoque irridet non uno loco. » *M.*

160.

Schol. Theocriti Idyll. 4, 18, Κώμυς : ἡ δέσμη, ἤτοι τὸ δεσμάτιον, ὡς Κρ. « Ὁ δὲ μετ' εὐδήμου τρέχων κώμυθος, τὴν λοιπὴν ἔχει τῷ στεφάνῳ. » (Duo codd. λοιπὴν ἔχων τῶν πρωων, vel cum lineola, i. e. πατρώων). ἡ κώμυς δέσμη χόρτου ἱκανὴ εἰς τροφήν. Locus situ temporis corruptus : præsertim Cratini versus sunt *disjecti membra poetæ*, vocesque singulæ tantum non omnes depravatæ; hæc quidem nobis probabilia videbantur :

Ὁ δὲ τῶν γε λοιπῶν κώμυθος εὐδέσμου μέτα
τρέχων ἐχέτω τὰ πρῶτα τῶν στεφάνων ἀνήρ.

Λοιπῶν, *reliquorum* cursorum in ludis. Κώμ. εὐδ. μέτα, *cum bene vincto manipulo*, quem fuisse qui manu tenentes, sicut alios facem, currerent in stadio, ex his apparet. Quod adjeci, aptum pariter sententiæ ac metro, absorptum puto a præcedente -άνων. Etiam postrema scholiastæ, vel alicujus interpolatoris, verba ἡ κώμυς etc., non carent mendo, sed ponendum haud dubie est τροχὴν, *cursum*, ut significetur manipulus graminum aptus ad portandum in cursu. Nuper Meinekius hæc proposuit leniore ausu :

Ὁ δὲ μετ' Εὐδήμου τρέχων
κώμυθα τὴν λοιπὴν ἔχει τῶν πρωΐων.

161.

Idem 9, 19 : εἰώθασι γὰρ ἔγκατα πλήσαντες καὶ ξηράναντες ὀπτᾶν· εἶτα ἐσθίουσι ταῦτα, ἃ καὶ χόρια προσαγορεύουσι. * « Κρατὶ νεοτρόφοιο (duo Vat. νεοστέφοι) γέννας, χόριά τ', ἐμβρύων τε πλήθη. » ἔμβρυον γὰρ ἀπὸ τοῦ ἐν ἑαυτῷ τὴν βορὰν ἔχειν (?), ἢ ἀπὸ τοῦ ἐμβρύειν (?) καὶ αὔξεσθαι. Probabiliter Mein. ξηράναντες pro ξηραίνοντες. Deinde legam : Κρατῖνος (minus placet Κράτης)·

Νεότροφον γένος,
χόριά τ' ἐμβρύων τε πλήθη·

et in fine scholiorum ἀπὸ τοῦ βρύειν. Νεότροφον γένος, fortasse ἰχθύων, qui laudantur recentes, νεότροφοι, νέοι.

162.

Schol. Thucyd. 1, 30 : τροπαῖον ἡ παλαιὰ Ἀτθὶς, ἧς ἐστιν Εὔπολις, Κρατῖνος, Ἀριστοφάνης, Θουκυδίδης· τρόπαιον ἡ νέα Ἀτθὶς, ἧς ἐστι Μένανδρος καὶ οἱ ἄλλοι. Similia Suidas.

163.

Schol. Homeri Il. B, 56 : ἐνύπνιον ὀνοματικὸν ἐπίρρημα ἀντὶ τοῦ ἐνυπνίως. ἔστι δὲ καὶ ὄνομα δεῖ (sic) Κρατῖνος « Θράττει με τὸ ἐνύπνιον. » Cod.

157.

Sane deo libantes amystin decet bibere.

158.

Quisnam tu? elegans aliquis spectator quæsiverit : subtililoquulus, sententiarum venator, euripidaristophanissans.

159.

Quod Philocles argumentum corrupit.

160.

E reliquis autem vir cum manipulo bene vincto currens habeto primam coronam. — *Sive :*

Ille cum Eudemo currens
manipulum unum reliquum habet ex matutinis.

161.

— Recens eductum genus (*piscium?*)
et farcimina, et embryorum copiam.

163.

Terret me somnium.

V. κράτιλος θράττει μὲν ἐν. BL. δραπετεύοντα τὸ ἐν. « Scribam Θράττει με τοὐνύπνιον. Pro δεῖ fort. καὶ scribendum. » *M.*

164.

Idem Il. Π, 428, ἀγκυλοχεῖλαι : * παρασύνθετον ἐκ τοῦ ἀγκυλόχειλος, ἢ ὡς τὸ δωδεκέται παρὰ Κρατίνῳ. Adjectivum ἀγκυλόχειλος non potest dici παρασύνθετον : v. Schneideri Lex. h. v. Scripserim παρὰ συνθέτου, τοῦ ἀγκυλόχειλος, ὡς δωδεκέται (i. e. δωδεκαετεῖς). Hoc quidem pro vitioso δεδόκεται poni jusserunt Lobeck. Paralip. 1, p. 244, Bergk. Commentt. p. 257, et Mein.

165.

Idem ib. Σ, 521 : * πισσοχονίας Ἄρην Κρατῖνος. Recte Bergk. Commentt. p. 255,

– πισσοχωνίας Ἄρης.

Sic ipsum Martem Cr. appellaverit propterea, quia hoc supplicio afficiebantur incendiarii, qui plurimi sunt in bellis; cf. ann. ad Æschyli Choeph. 254. Ad eundem locum spectat Hesych. s. v. Κωνῆσαι : καὶ πισσοχώνητον μόρον λέγουσιν ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθάνωσιν. Αἰσχύλος Κρήσσαις καὶ Κρ. πισσοκωνία γὰρ ἡ νῦν πισεδία (l. πίσσα) ᾗ χρίουσι τὰ παρίσθμια τῶν προβάτων.

166.

Hesychius, Δεξώ : ὁ Κρ. ὠνοματοποίησεν ἀπὸ τοῦ δέχεσθαι δῶρα. V. Eunid. fr. 2.

167.

Suidas, Αἴγλη : βόλος κυβευτικός. λαμπηδὼν, αὐγή, Κρ. Καὶ ποπάνου εἶδος δηλοῖ, καὶ θυσίαν, ὥς φησι Λεαγόρας.

168.

Idem : Ἄναλτον Ὅμηρος (Odyss. 17, 228; 18, 113, 363) καὶ Κρ. ἀντὶ τοῦ ἀπλήρωτον. Eadem Zonaras p. 188.

169.

Idem : Ἀνεπτερῶσθαι τὴν ψυχὴν, οἷον ἀνασισοβῆσθαι, Κρ. Similia grammat. Bekker. p. 398.

170.

Idem : Βάδιζε. καὶ βαδίζου ἀντὶ τοῦ βάδιζε Κρ.

171.

Idem, Βῶσον : βοήθησον. Κρ. Apud Zonar. Lex. p. 415, βώσσον (sic). Hesych. Βῶσον : κάλεσον, βόησον.

172.

Idem, Ἄξιος λαβεῖν ὁ μισθός : τοῦτο τῶν εἰς κάλλος ἠσκημένων, σημαῖνον τοιοῦτό τι· ἄξιός ἐστιν ὁ μισθὸς, ὥστε λαβεῖν αὐτόν. ἔστι δὲ παρὰ Κρατίνῳ. Similiter gramm. Bekk. p. 412.

173.

Idem, Ἐξόδιοι νόμοι : αὐλήματα, δι' ὧν ἐξῄεσαν οἱ χοροὶ καὶ οἱ αὐληταί. οὕτω Κρ.

Τοὺς ἐξοδίους ὑμῖν ἵν' αὐλῶ τοὺς νόμους.

« De hujusmodi exordiis egregius locus est Ælii Dionysii ap. Eustath. ad Il. p. 239, 20. » *Mein.* quem v. p. 230.

174.

Idem, Ναύσων Ναυκράτη : ἐπὶ τῶν ὁμοίως ἀποδιδόντων ἀλλήλοις. ὀνοματοποίησις δὲ τὸ Ναύσων ὡς τὸ ἀγαθῶν ἀγαθῖδες, etc. « Cratinum eo proverbio usum esse docet Hesychii glossa, quamvis corrupta, Ναύσων : Κρατῖνος ὄνομα ἐποίησε τὸ Ναύσων παρὰ τὴν ναῦν καὶ τὸ κρατεῖν. πολλὰ δέ ἐστι τοιαῦτα, ὡς ἀγαθῶν (add. ἀγαθῖδες) καὶ λευκότερος Λεύκωνος. cf. Proverb. Bodlej. 677. Nausonis nomen fictitium usurpavit etiam Aristophanes, seu potius Eupolis, Eq. 1306. » *M.*

175.

Zonaras vol. 1, p. 804, Ἐπιστολή : ἐπίσκηψις, ἐντολή· « ὁ δὲ τῷ ἱερεῖ ἐπιστολὰς λέγει καθεύδοντι. » καὶ Κρ.

Ἄκουε νῦν καὶ τήνδε τὴν ἐπιστολήν.

176.

Idem ib. p. 919 : Εὐθενεῖν οἱ Ἀττικοί· οἱ δὲ Ἴωνες εὐθηνεῖν. Κρ.

Ἀλλὰ τάδ' ἔστ' ἀνεκτέον· καὶ γὰρ, ἡνίκ' εὐθένει.

Libri ἀνακτέον et εὐθενεῖ, quorum illud emendatum est a Bergkio Commentt. p. 27 et Mein.; hoc a Lobeckio ad Phryn. p. 466. Ferenda esse aliquis dicit incommoda in ægro, quæ antea tulerint, quum vir vigeret suique potens esset. — Metrum Cratineum.

165.

– Piee oblitos comburens Mars.

169.

Pennis evehi animam.

173.

Ut tibiis canam vobis exodia.

175.

Audi nunc etiam hoc jussum.

176.

Sed hæc ferenda, si quidem, quum vigebat.

177.

Idem ib. p. 929 : ἐφ' ᾧ τε... καὶ ὁριστικῷ συντάσσεται, καὶ ἀπαρεμφάτῳ. Θουκυδίδης (4, 30), « ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ τηρήσονται. » καὶ Κρ.

Ἐφ' ᾧ τ' ἐμαυτὴν συγκαθεύδειν τῷ πατρί.

Fortasse verba Pelopiæ, quæ cum Thyeste patre concubuit : v. Hygin. Fab. 87.

178. 179.

Idem vol. 2, p. 1168, Κάθου καὶ κάθησο : ἀμφότερα ἑλληνικά. Ἀριστοφάνης « Οὐχ ὅτι (ὅπερ Mein.) ἐκεῖνος ἔλαχεν· οἰμώζων κάθου. » Κρ.

Τὴν χεῖρα μὴ 'πίβαλλε, μὴ κλάων κάθῃ.

Et paucis interjectis : λέγουσι δὲ καὶ καθίζανε. Φερεκράτης... Κρ.

Εἰ πρῶτος ἔλθοις, καὶ καθίζεσθαι λάβοις.

180. 181.

Idem ib. p. 1366 : οἱ Ἀττικοὶ μόλυβδον καὶ μολύβδινον· τὸ δὲ μόλυβον (male libri μολυβοῦν) ἐσχάτως βάρβαρον.

— Ὁ Φορμίων δὲ τρεῖς στήσειν ἔφη
τρίποδας, ἔπειτ' ἔθηκεν ἕνα μολύβδινον.

Κρ.

Φαίνεσθαι χρυσῆν, * κατ' ἄγρους δ' αὖθις αὖ
μολυβδίνην.

Apage ista κατ' ἄγρους, quæ fucum fecerunt viris doctis! Ponendum κατάκρας, *penitus*, funditus, quæ vox paulo rarior habetur apud Sophoclem Cf. Iliad. 13, 772. Phialam specie auream, re totam plumbeam, vel aliquid ejusmodi, Cr. dicere videtur. — Phormionem intelligam divitem illum Atheniensem, de quo Demosthenes Mid. p. 565. Eum intelligendum esse etiam Mein., nisi fallor, existimavit, supplens ille ἀργυροῦς (τρίποδας). Ego addidi ὁ et δέ. Codices Φορμίων· Τρεῖς ἔφη στήσειν τρ. Ad Trophonium refert Mein.

182.

Pollux 7, 161 : κεράμιον οἰνηρὸν Ἡρόδοτος καὶ Κρ. Nisi hoc referendum ad Pytinæ fragm. 8.

VII.

CRATES.

Cratetem Atheniensem, antiquæ comœdiæ poetam, Cratini olim histrionem fuisse testantur scholiastes Aristoph. Eq. 534 : κωμῳδίας ἦν ποιητής, ὃς πρῶτον ὑπεκρίνατο (τὰ) Κρατίνου, καὶ αὐτὸς ὕστερον ποιητὴς ἐγένετο, et Anonymus De comœdia p. xv : τοῦτον ὑποκριτὴν φασι γεγονέναι τὸ πρῶτον, ὃς ἐπιδέδληκε Κρατίνῳ. Olympiadi LXXXIII, 4 adscribitur ab Eusebio, quo anno primam fabulam docuit. Singulos homines lacessendi consuetudinem ille fere omisit, hilaria magis et ad generaliorem morum picturam pertinentia argumenta præferens, καθόλου λόγους ἢ μύθους, ut loquitur Aristoteles Art. Poet. cap. 5, a Meinekio Hist. crit. p. 59-60 optime expositus. Anonymus etiam, de Pherecrate loquens, Cratetis imitatore, p. xv : ἐζήλωκε Κράτητα, καὶ αὖ τοῦ μὲν λοιδορεῖν ἀπέστη, πράγματα δὲ εἰσηγούμενος καινὰ ηὐδοκίμει, γενόμενος εὑρετικὸς μύθων. Eodem teste, item Athenæo 10, p. 429, A, primus post Epicharmum Crates ebrios induxerat in Γείτοσι fabula. Ille eum γελοῖον καὶ ἱλαρὸν poetam vocat. Aristophanes quoque verbis licet aliquo ironiæ colore aspersis laudat tamen, Equit. 538 :

ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας.

Ubi scholia : ὀλιγόστιχα ποιήματα γράψας· et : σμικρὰ ἐποίει, καὶ ἔτερπε τοὺς ἀκροατάς, γράφων ἡδέα· et κραμβοτάτου : ἡδυτάτου, ξηροτάτου... αὐτοσχέδιος γὰρ ἦν περὶ τὰ δράματα, sicut Aristophanes in alteris Thesmophoriazusis novum quoddam Cratetis inventum παραβεβλημένον dicit. Verumtamen, ut ceteros fere poetas comicos, ita Cratetem quoque popularis auræ inconstantiam expertum esse significat Aristophanes Eq. 537 :

οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελισμούς·

et 540 :

χοὖτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων τοτὲ δ' οὐχί.

Ubi quod scholiastes narrat Cratetem largitione spectatorum voluntatem et applausum sibi rede-

---

177.
Ea conditione, ut cum patre concumberem.

178.
Cave manum injicias, ne considas plorans.

179.
Si primus venisses, etiam locum reperisses ad sedendum.

180.
Phormio tres (argenteos) se collocaturum esse dicebat tripodas, deinde unum statuit plumbeum.

181.
Apparere auream, dein rursus totam plumbeam.

misse, ἐξωνεῖτο τοὺς θεατὰς καὶ τὴν τούτων εὔνοιαν, fortasse non merum grammatici commentum est, sed ex aliorum Comicorum, quos Crates adversarios habuerit, fabulis petitum. Ex eadem Aristophanis comœdia apparet poetam non ultra olympiadem LXXXVIII, 4, vixisse. *E Mein.*, qui de singulis fabulis recte vel perperam ad Cratetem relatis docte disserit Hist. crit. p. 62 et seqq.

I. ΓΕΙΤΟΝΕΣ.

1.

Athen. 9, p. 396, D, de γαλαθηνοῖς disserens: Κράτης Γείτοσι·

Νῦν μὲν γὰρ ἡμῖν παιδικῶν ἅλις (γ' ἅλις),
ὅχως περ ἀρνῶν ἐστι γαλαθηνῶν τε καὶ
χοίρων.

Libri fere παιδικῶν δαισόχως περ, ex quibus affectis Jacobsii sagacitas Additam. p. 208 eruit ἅλις: nos alterum ἅλις addidimus, quod, sententiam pariter juvans et versum, ab altero haustum fuerit, quemadmodum similia similibus officere solent. De repetitis pathetice v. Soph. El. 206 seqq., Elmsl. ad Medeam 1240. Alcest. 696:

φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον,

ubi v. ann. Terentius Heaut. 3, 1, 30: *satis jam, satis, pater durus fui.* Ὅχως, frequens apud Herodotum, decet antiquiorem Atticum poetam.

2.

Idem 15, p. 690, D: βασιλείου δὲ μύρου μνημονεύει Κράτης ἐν Γείτοσι, λέγων οὕτως·

Γλυκύτατον, ὦ Ζεῦ, ὦζε βασιλείου μύρου!

Libri Γλ. δ' ὦ Ζεῦ βασ. μ. Porsonus ad Odyss. 5, 455, Γλ. δ' ὦζε β. μ. Bergkius Commentt. p. 277, Γλ., ὦ Ζεῦ, δ' ὦζε β. μ., recte, nisi quod reliquit δὲ particulam; hiatus in verbis Ζεῦ ὦζε nihil offensionis habet: v. annot. ad Eccles. 748.

3.

Pollux 7, 179: χαρδοπογλύφος, ὡς Κράτης (ita cod. Falck. pro Κρατῖνος) εἴρηκεν ἐν Γείτοσιν.

4.

Idem ib. 204: τὸ δὲ πεσσοῖς παίζειν πεσσονομεῖν Κρ. εἶπεν ἐν Γείτοσιν.

5.

Idem 10, 118: ὅταν δ' εἴπῃ ἐν τῷ Αἰολοσίκωνι Ἀριστοφάνης (fr. 10) « δυοῖν λυχνιδίοιν, » δῆλον ὅτι λυχνία εἴρηκεν, ἀλλ' οὐ λύχνους μικρούς, ὥσπερ καὶ ὅταν Κρ. φῇ ἐν τοῖς Γ.

Οὐκ ἔστι μοι λυχνίδιον.

6.

Photius p. 633, 21, Ὗς διὰ ῥόδων: ἐπὶ τῶν σκαιῶν καὶ ἀναγώγων. Κρ. Γ. Sic item Suidas h. v.

7.

Gramm. Bekker. Anecd. p. 144, 27, ubi agitur de εἰ conjunctione cum optativo: Κρατῖνος Γείτοσιν·

Εἰ σοφὸς ᾖ.

« Lege Κράτης. — Præterea semel Γείτονες commemorantur ab Athenæo 10, p. 429, A, ubi ebrium in hac fabula a Cratete primo introductum esse narrat. » *M.*

II. ΗΡΩΕΣ.

1.

Proverb. Bodl. 715, p. 86, C, Οὐκ ἄσκιον: εἴρηται ἐπὶ τῶν τὰ κενὰ δεδοικότων. Κρ. Ἥρωσιν·

Οὐκ ἀσκίῳ μεντἄρ' ἐμορμολύττετ' ἂν
τινὰς... εἰ τάδ' ἔστ' ἀληθῆ.

Hesych. s. v.: Οὐκ ἀσκίῳ μ. ἐμορμολύττετ' αὐτούς, εἰ τάδ' ἔστ' ἀληθῆ· ἐπὶ τῶν τὰ κενὰ δεδοικότων, ἐπεὶ κενὸς ὁ ἀσκός. Codex εἶτα δ' ἔστ', in Prov. hæc solum: οὐκ ἀσκίῳ γ' ἐμορμολύττετ' αὐτούς. Forte ἐμορμολύττεταντους abiit in ἐμορμολύττετ' αὐτούς. Post τοὺς substantivum (-υ) exciderit.

2.

Suidas: Ἀθάρην, οὐκ ἀθήραν, τὴν ἐρεικτὴν καλοῦσι. Κρ. Ἥρ.

VICINI.

1.

Nunc enim nobis amasiorum satis est, satis,
quoties quidem agnorum lactentium et
porcorum.

2.

Dulcissimum, proh Juppiter, regium spirabat unguentum!

3.

Mactrarum cavator.

5.

Non est mihi lumen.

6.

Si sapiens sit.

HEROES.

1.

Non uterculo igitur terrebatis
illos, si hæc vera sunt.

Οὐκοῦν ἔτνους χρὴ δεῦρο τρυβλίον φέρειν
καὶ τῆς ἀθάρης.

Eadem ferme gramm. Bekker. Anecd. p. 352, 2.

3.

Idem : Ἀνεκάς ψιλῶς τὸ ἄνω λέγουσι... Κρατῖνος (immo Κράτης) Ἥρ.

Τὸν αὐχέν' ἐκ γῆς ἀνεκὰς εἰς αὐτοὺς βλέπων.

Τὸν αὐχένα, i. e. τῷ αὐχένι : v. ann. ad Aristoph. Eq. 9. Bernhardyus τρέπων conjicit pro βλέπων. « At (inquit Mein.) forsan imperiose jubentis verba sunt *sursum cervicem*, sc. tolle. Simili ellipsi dicitur μὴ τριβὰς ἔτι. »

4.

Pollux 3, 155 : Κράτης δ' ἔφη ἐν Ἥρ. « Ἀλτῆρσι θυλάκοισι χρήσαιτο μέγεθος. » Ita codex Falck. pejusque etiam alii duo, quos Kuhnius inspexit, θηλύκοισι χρῆσαι τὸ μ. Sensum, eumque haud ineptum, hæc haberent :

Ἀλκτῆρσι θυλάκοισι χρήσαιθ' ὅδε γνάθος.

Quibus nescio cujus voracitas, utribus indigens farinæ vel panis (cf. Pherecrat. Ἀγαθ. 1), derideretur. Quum suppetant exempla θ et τ, δ et μ itemque γ et ν litterarum confusarum, verisimile videtur, verba χρήσαιθοδεγνάθος gliscente depravatione mutata esse in χρήσαιτομεγαθος (omisso ν simili post γ) et χρησαιτομεγεθος. Nuper Mein. correxit

Ἀλτῆρσι θυλάκοισι χρῆται τὸ μέγεθος.

5.

Idem 10, 90 : ἐπὶ δὲ τούτοις καὶ κανᾶ, καὶ κάνητα (malo καὶ κάνητες), καὶ κανίσκια. καὶ κάνητα μὲν Κρ. ἐν Ἥρ. εἶπεν

Ὁ κάνης δὲ τῆς κοίτης ὑπερέχειν μοι δοκεῖ.

Ἀριστοφάνης δ' ἐν Ἀχαρνεῦσι κανοῦν. Photius p. 324, 17, Ὁ κάνης τῆς κοίτης ὑπερέχει : ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων. « Cf. Proverbia Coisl. 360. » *M.*

6.

Idem ib. 175 : καὶ ῥιπίδα δ' ἄν τις φαίη πλέγμα τι ψιάθῳ ἢ φορμῷ παραπλήσιον. Κρ. δ' (malim γὰρ) ἐν τοῖς Ἥρ. ἔφη « ῥιπίδι κοπραγωγῷ. »

III. ΘΗΡΙΑ.

« In hac fabula Crates duas personas introduxit allegoricas, quarum altera mollem ac delicatam commendaret vitam, altera vero simplicem et naturæ convenientem, ut ævo Saturnio. Præterea bestias induxit more humano colloquentes cum hominibus, eosque hortantes, ut carnium esu abstinerent. Cf. Bergk. Commentt. p. 278. » *E M.*

1.

Athen. 6, p. 267, E : οἱ δὲ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ περὶ τοῦ ἀρχαίου βίου διαλεγόμενοι, ὅτι οὐκ ἦν τότε δούλων χρεία, τοιάδε ἐκτίθενται, Κρατῖνος μὲν ἐν Πλούτοις... Κράτης δ' ἐν Θηρίοις·

α. Ἔπειτα δοῦλον οὐδὲ εἷς κεκτήσετ', οὐδὲ δούλην.
β. Ἀλλ' αὐτος αὑτῷ δῆτ' ἀνὴρ γέρων διακονήσει;
α. Οὐ δῆθ'· ὁδοιποροῦντα γὰρ τάδε πάντ' ἐγὼ ποιήσω.
β. Τί δῆτα τοῦτ' αὐτοῖς πλέον; α. Πρόσεισιν αὐθέκαστον
τῶν σκευαρίων, ὅταν καλῇ τι. « Παρατίθου, τράπεζα!
αὐτὴ παρασκεύαζε σαυτήν! — μάττε, θυλακίσκε! —
ἔγχει, κύαθε! ποῦσθ' ἡ κύλιξ; διάνιζ' ἰοῦσα σαυτήν! —
ἀνάβαινε, μᾶζα! — τὴν χύτραν χρῆν ἐξερᾶν τὰ τεῦτλα! —
ἰχθὺ, βάδιζ'! » — « Ἀλλ' οὐδέπω γ' ἐπὶ θάτερ' ὀπτός εἰμι. »

2.

Igitur pultis huc afferenda est patina.

3.

Cervice erecta ex terra eos adspiciens.

4.

Utrium farinæ auxilio indigeret hæc maxilla.

5.

Storea vero cubili potior mihi videtur.

6.

Storea efferendo stercori.

BELLUÆ.

1.

a. Deinde ne unus quidem servum habebit aut servam.
b. An igitur, quæso, sibi ipse ministrabit vir senex?
a. Minime : nam euntia ego hæc omnia faciam.
b. Quid tandem hoc illos juvabit? a. Accedent sponte
vasa, si quod vocaverit. « Apponitor, mensa!
ipsa te appara! — Subige, sacce! —
Infundito, cyathe! ubi est calix? age, te ipsa elue! —
Surge, maza! — Ollam ejicere betas oportuit. —
Piscis, venito! » — « At nondum altera parte assatus sum. » —

« Οὔκουν μεταστρέψας σεαυτὸν ἁλσὶ πάσεις,
ἀλίφρον; »

Versu 3 libri ταῦτα pro τάδε, quod illo interpretati sunt, de metro securi. Minus bene Elmslejus in *Edinburg. Rev.* vol. 19, p. 88, et alii τὰ πάντα. Versu 4 Dindorfius αὔθ' ἕκασιον. V. 5 libri παρατιθῶ τρ. Casaub. παρατίθου, ὦ τρ. Inutile ὦ metro delevit Elmsl. V. 6 recte αὐτὴ, *ipsa*, tua sponte, pro αὕτη, *heus tu*, quo nihil opus, Heringa Observ. p. 174. V. 7 sic Dindorfius. Codex A λιανίζουσα σεαυτήν. V. 8 χρῆν pro χρὴ primus Elmsl. et ἐξερᾶν τὰ pro ἐξαιράντα Schweigh. V. 9 codd. οὐδέπω, vel οὐδέπο, τἀπὶ θάτ. Violentius alii οὐδέπω 'πὶ, vel quod etiam pejus, οὐδὲ τἀπί. Denique v. 10 codd. fere σεαυτὸν ἄλειπας εἰσαλείφων. Casaub. ἁλσὶ πάσσ' εἰσαλείφων, quæ ne versus quidem admittit. Cui subveniens Elmsl. scripsit σ. ἁλσὶ (Dindorf. ἁλὶ) πάσεις ἀλείφων, non magis ille quam alii offensus frigida tautologia τοῦ ἀλείφων. Nihil aptius sententiæ quam ἀλίφρον, idemque simillimum vulgato; semel scripto ut fit ἀλίφον non defuerint qui opitulari sibi viderentur, si ponerent ἀλείφων. Jam igitur major quam Naumachi auctoritas allata est τῷ ἀλίφρων, a quo derivata vox ἀλιφροσύνη legitur apud Hesychium.

2.

Idem ib. p. 268, A : ἑξῆς δὲ μετὰ ταῦτα ὁ τὸν ἐναντίον τούτῳ παραλαμβάνων λόγον φησίν·

Ἀλλ' ἀντίθες τοι· ἐγὼ γὰρ αὐτὰ τἄμπαλιν
τὰ θερμὰ λουτρὰ πρῶτον ἄξω τοῖς ἐμοῖς
ἐπὶ κιόνων, ὥσπερ διὰ τοῦ παιωνίου
ἐπὶ τῆς θαλάττης, ὥσθ' ἑκάστῳ ῥεύσεται
εἰς τὴν πύελον· ἐρεῖ δὲ, θὔδωρ ἀνέχεται.
Ἔπειτ' ἀλάβαστος εὐθέως ἥξει μύρου
αὐτόματος, ὁ σφόγγος τε, καὶ τὰ σάνδαλα.

Versu 1 cod. A τοι, ceteri τόδ'. Scribam τόγ'. Ibidem libri πάμπαλιν voce nihili; Casaub. et alii τἄμπαλιν. V. 2 « τοῖς ἐμοῖς, i. e. iis qui meas partes sequuntur. » *Mein.* Idem ad v. 3 annotavit, hujus nosocomei ad mare, in Piræeo, ut conjicias, nullam præterea mentionem fieri apud scriptores. V. 5 ἐρεῖ δὲ, ut fr. 1, 5, ὅταν καλῇ τι, intellecto τὶς pronomine. Deinde vulgo ἀνεκχέτει, codex A ἀνέχεται, Bergkius quod dedimus, Dindorf. et Mein. ἀνέχετε. V. 6 ἀλάβαστος Mss. pro vulgato ἀλάβαστρος, Attice ut σφόγγος v. 7, ubi perperam σπόγγος libri scripti atque editi. Notus, etiam ex Aristophane, spongiarum usus in balneis.

3.

Idem 3, p. 119, C, de vocabuli τάριχος genere masculino : Κρ. Θηρίοις·

— α. Καὶ τῶν ῥαφάνων ἕψειν χρὴ...
ἰχθῦς τ' ὀπτᾶν, τούς τε ταρίχους, ἡμῶν δ'
ἀπὸ χεῖρας ἔχεσθαι.
β. Οὐκ ἄρ' ἔτ' οὐδὲν κρέας, ὡς ὑμεῖς λέγετ',
οὐδ' ὁτιοῦν ἐδόμεσθα,
οὐδ' ἐξ ἀγορᾶς, οὐδὲ τάκωνας ποιησόμεθ',
οὐδ' ἀλλᾶντας.

Schol. Aristoph. Pac. 803 : E. ἐν τοῖς Κόλαξιν ὡς κίναιδον (τὸν Μελάνθιον) διαβάλλει καὶ κόλακα. « Melanthium dicit Tragicum, gulositate infamem; v. Pac. l. c. Athen. 8, p. 343, C : ἐν τοῖς Ἰχθύσιν Ἄρχιππος τῷ δράματι (τὸν Μελάνθιον) ὡς ὀψοφάγον δήσας παραδίδωσι τοῖς ἰχθύσιν ἀντιβρωθησόμενον. Id. 1, p. 6, C, ex Clearcho : Μελάνθιος, τῶν ἀπολαύσεων ἐρῶν, ηὔξατο τῆς μακραύχενος ὄρνιθος (τοῦ κύκνου Phot. Epist. 88, p. 122, ubi idem narrat) τὸν τράχηλον ἔχειν, ἵν' ὅτι πλεῖστον τοῖς ἡδέσιν ἐνδιατρίβῃ. Huic igitur locum E. dederat inter Calliæ adulatores; itemque Marpsiæ, Oresti, Chærephonti, Cleocrito. De Chærephonte testis est schol. Plat. Bekk. p. 331 ; de Marpsia et Oreste anon. ap. Suid. v. Βομβοῦσι : Ὀρέστης, Μαρψίας, Καλλίου τοῦ Ἀθηναίου κόλακες σὺν ἑτέροις. *Cleocritum* ex fabula nostra commemorat schol. Arist. Avium 877. » *E M.*

9.

Pollux 10, 28 : καὶ τὸ μὲν σκεῦος (κόρημα) καὶ ῥῆμα (κορεῖν) ὑπὸ τοῦ Εὐπόλιδος εἴρηται ἐν τοῖς Κ.

Τουτὶ λαβὼν τὸ κόρημα τὴν αὐλὴν κόρει.

« Excipiendis hospitibus, ut conjicias. » *E M.*

10.

Diog. Laert. 9, 50 : Πρωταγόρας, Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης, ...ὡς δ' E. K., Τήϊος· φησὶ γὰρ

Ἔνδοθι μέν ἐστι Πρωταγόρας ὁ Τήϊος,
ὃς ἀλαζονεύεται μὲν ἀλιτήριος
περὶ τῶν μετεώρων, τὰ δὲ χαμᾶθεν ἐσθίει.

Primum tantum versum servavit Diog., reliquos Eust. ad Odyss. p. 1547, 53 : E. τὸν φυσικὸν Πρωταγόραν διακωμῳδῶν ἐν τῷ « Ὃς ἀλαζ. etc. » Athen. 5, p. 218, C : ἐν οὖν τούτῳ τῷ δράματι (Κόλακας dicit) E. τὸν Πρωταγόραν ὡς ἐπιδημοῦντα εἰσάγει. Versu 2 libri ἀλιτ., et v. 3 χθαμᾶθεν. Correxit Porson. Adv. p. 75. Ego pro μὲν malim μέγ'. « Fortasse hæc respexit etiam Achill. Tat. Isag. p. 121, ex *Aristophane* afferens,

ὃς τάφανῆ μεριμνᾷ, τὰ δὲ χαμᾶθεν ἐσθίει.

Videtur Eup. rem ita instituisse, ut, dum Callias cum sociis scortisque in ædibus epulabantur, aliquis foras prodiret narratum, quid intus ageretur. Eodem spectant fr. 11, 12, 13. » *E M.*

11.

Plut. Sympos. 7, p. 699, A : Εὔπολιν μὲν γὰρ, εἰ βούλει, πάρες ἐν K. εἰπόντα

Πίνειν γὰρ αὐτὸν Πρωταγόρας ἐκέλευ', ἵνα
πρὸ τοῦ Κυνὸς τὸν πνεύμον' ἔκκλυστον φορῇ.

V. 1 αὐτὸν addidit Grotius. V. 2 Plut. mire ἔκλυρον. Athen. 1, p. 22, F : Εὔπολίς τε τὸν Καλλίαν φησὶν ἀναγκάζεσθαι ὑπὸ Πρωταγόρου πίνειν, « ἵνα πρὸ τοῦ κ. τὸν πν. ἔκλυτον φ. » Hinc probabiliter Reiskius ἔκκλυστον, quod recepi. « Macrob. 7, 15 : *In pulmonem defluere potum, nec poetæ nobiles ignorant : ait enim Eup. in fabula, quæ inscribitur Colaces,* Πίνειν γὰρ ὁ Πρωτ. » etc. Plut. Repugn. Stoic. p. 1047, D : τῶν ποιητῶν Εὐριπίδην, Ἀλκαῖον, Εὔπολιν, Ἐρατοσθένην, λέγοντας ὅτι τὸ ποτὸν διὰ τοῦ πνεύμονος (!) διέξεισιν. Πρὸ Κυνὸς, ante ortum Canis sive Sirii, et generatim stellarum, i. e. ante vesperam.

11. a.

Schol. Hippocrat. editus a Darembergio *Notices et Extraits des mss. médicaux* part. 1, p. 215 : Εὔπολις... καὶ ἐν Βάπταις (immo ἐν Κόλαξιν : vide dicta ad fr. 1 Baptarum)· « Καὶ τὸν Κέκροπά φασιν ἄνωθεν ἀνδρὸς ἔχειν μέχρι τῶν κοχωνῶν, τὰ δὲ κάτωθεν θυννίδος. » Quæ sic scripsit Dübnerus p. 216 :

Τὸν Κέκροπα φασὶν ἀνδρὸς ἔχειν τἄνω μέρη
μέχρι τῶν κοχωνῶν, τὰ δὲ κάτωθεν θυννίδος.

Voc. μέρη haustum a sequenti μέχρι. Daremb. : « *Le Ms. porte* θυμνίδος, *mais il paraît évident qu'il faut lire* θυννίδος, *car il se peut que la tradition la plus ordinaire, qui donne à Cécrops un corps d'une double nature, le haut d'homme, le bas de dragon, ait été un peu modifiée, et qu'on lui ait attribué quelque chose du thon.* »

9.
Hisce sumptis scopis aulam verre.

10.
Intus enim est Protagoras Teius,
qui gloriose mentitur, piacularis,
de cœlestibus, comedit autem terrestria.

11.
Bibere jubebat eum Protagoras, ut
ante Canem pulmonem habeat elutum.

11. a.
Cecropem aiunt hominis habere partes superiores
usque ad inguina, inferiores vero thunni.

12. 13.

Schol. Aristoph. Nub. 52 : λαφυγμὸν γὰρ λέγει τὸ ἀπλήστως ἐσθίειν. E. K.

Λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ.

Exscripsit hæc Suidas v. Λαφυγμός. Eidem scenæ convenit versus, tacito nomine comœdiæ allatus in Etym. Gud. p. 116, 47, Βρυγμός : ἡ σύντομος ἐδωδή. E.

Ὅσος δ' ὁ βρυγμὸς καὶ κοπετὸς ἐν τῇ στέγῃ.

παρὰ τὸ βρύχω (βρύκω), ὃ σημαίνει ἐσθίω. ὡς νύσσω οὖν νυγμὸς, βρύκω βρυγμός. Liber versu claudicante ὅσος ὁ βρ. Adjectum δ' a Mein. Phrynichus App. soph. p. 30, 28, Βρυγμός : ἡ σύντομος ἐδωδή. ἐπὶ τῶν ταχέως (perperam libri τραχέως) ἐσθιόντων. « Κοπετὸν et ipsum intelligo σύντομον ἐδωδὴν, quemadmodum παίειν (germ. *einhauen. Both.*) dicuntur avide comedentes; v. Chionidis Paup. fr. 3. » *E M.*

14.

Athen. 7, p. 328, B : μνημονεύει δ' αὐτῶν (dicit χρυσόφρυς pisces) καὶ Ἐπίχαρμος ἐν Μούσαις.... E. δ' ἐν Κόλαξί φησι

Δραχμῶν ἑκατὸν ἰχθῦς ἐωνήμην μὲν οὖν
ὀκτὼ λάβρακας, χρυσόφρυς δὲ δώδεκα.

Libri ἐωνημένος vel ἐωνημένοι. Jacobs. Addit. p. 180 ἐωνήμην, quod verisimile. Porsonus Adv. p. 101 ἐώνημαι μόνον, quorum illud ferri potest, hoc non potest, sed ponendum, quod posui, μενοῦν. Verba coqui apud Calliam. Ad convivium hujus pertinet etiam sequens fragm.

15.

Pollux 9, 59 : ἡ ἀττικὴ μνᾶ ἔχει δραχμὰς ἑκατὸν, ὡς ἀκριβέστατά ἐστιν ἐν τοῖς Εὐπόλιδος K. « Δεῖπνον θὲς ἑκατὸν δραχμάς. Ἰδού. » εἶτ' ἐπιφέρει « Οἶνον θὲς ἑτέραν μνᾶν. » δῆλον ὅτι καὶ τὰς ἑτέρας ἑκατὸν δραχμὰς μνᾶν εἴρηκε. Unde sua hausit schol. Luciani vol. 4, p. 178 Jac. Meinek. hæc ita scripsit :

— Δεῖπνον θὲς ἑκατὸν δραχμάς. β. Ἰδού.
α. Οἶνον θὲς ἑτέραν μνᾶν.

16.

Athen. 7, p. 328, E : τριχίδων δὲ (μνημονεύει) E. ἐν Κόλαξιν·

Ἐκεῖνος ἦν φειδωλὸς, ὃς ἐπὶ τοῦ βίου
πρὸ τοῦ πολέμου μὲν τριχίδας ὠψώνησ' ἅπαξ,
ὅτε τὰν Σάμῳ δ' ἦν, ἡμιωβολίου κρέα.

« Vid. Casaubonum ad l. Athenæi. Videri hæc de Calliæ patre Hipponico intelligenda esse, indicavi Hist. crit. p. 136. Quæ si vera est conjectura, apparet, hæc dici ad elevandam hominis temperantiam prædicatam Andocidi De myster. p. 121 Bekker. Τὰ ἐν Σάμῳ Schweigh. recte interpretatur bellum Samicum. Ἡμιωβολίου ut ad τριχίδας repetatur, nihil necesse est in tanta illius pisciculi vilitate. » *E M.*

17.

Idem 14, p. 646, F : σησαμίδες ἐκ μέλιτος καὶ σησάμων πεφρυγμένων καὶ ἐλαίου σφαιροειδῆ πέμματα. E. K.

Ὃς χαρίτων μὲν ὄζει, καλλαβίδας δὲ βαίνει,
σησαμίδας δὲ χέζει, μέλι δέ γε χρέμπτεται.

Versu 1 libri με νομίζει, correctum ab Erfurdtio et Porsono. Verba καλλαβίδας.... χέζει iterum posita ab Athen. 15, p. 630, A. V. 2 libri insulse μῆλα δὲ χρέμπτεται. Similia similibus offecerunt : γὲ facile neglectum fuerit, tanquam inutile, quum sit emphaticum et velut cumulus ad sententiam accedat. Xenophon Anab. 5, 5, 18 : Μάκρωνας δέ γε... Euripides H. F. 1130 : εὗρες δέ γ' ἄλλους,.. etc. Præterea non desunt exempla γ et χ literarum confusarum, ut suspicari possis, forte excidisse γε particulam; quemadmodum γόος pro χόος legitur Athen. p. 219, D, Χαλαδραίων pro Γαλαδραίων Lycophr. 1342, apud Anacreontem carm. 40, 3, ἄρχεται, ni fallor, pro ἄγεται, *incitatur,* etc. Versus strophici, et ultimi quidem strophæ, quorum prior constat e duobus chor. dim. cat., posterior (clausula) e chor. simili alteroque brachycatalectico.

18.

Idem 12, p. 535, A, de Alcibiade : κεκωμῴδηται καὶ ὑπὸ Εὐπόλιδος ὡς καὶ ἀκόλαστος πρὸς γυναῖκας ἐν K. οὕτως·

12.

Vorat voratum valde strenuum.

13.

Quantus dentium stridor, quantaque edacitas hac in [domo!

14.

Drachmis centum pisces quidem emebam
octo lupos, chrysophrys autem duodecim.

16.

Ille fuit parcus, qui semel in vita
ante bellum trichidibus obsonaverit,
et quum Sami res agerentur, semioboli pretio carne.

17.

Qui gratias olet, callabidibus autem ingreditur,
sesamidesque cacat, et mel quidem exscreat.

α. Ἀλκιβιάδης ἐκ τῶν γυναικῶν ἐξίτω. β. Τί ληρεῖς;
οὐκ οἴκαδ' ἐλθὼν τὴν σεαυτοῦ γυμνάσεις δάμαρτα;

Hæc alii aliter explicant : mihi nescio quis vir severus Alcibiadem domi epulantem cum adulatoribus et scortis evocare videtur, hortaturus ut tandem vitam sapienter instituat; cui servus impudentissime respondet. Γυμνάσεις, exercebis, *subagitabis*, ut ille Alcibiadem scorta subagitare noluerat.

19.

Pollux 9, 90 : τἀργύρια γὰρ ἐπὶ τοῦ ἀργυρίου σπανίως ἄν τις εὕροι παρ' αὐτοῖς (Atticis)· ἐγὼ δ' εὗρον ἐν ταῖς Νήσοις Ἀριστοφάνους, εἰ μὴ ὑποπτεύεται τὸ δρᾶμα ὡς Ἀριστοφάνους (hoc deleam) οὐ γνήσιον. Ἀλλ' οὔτι γε (intell. ὑποπτεύονται) καὶ οἱ Κόλακες Εὐπόλιδος, ἐν οἷς εἶπε

φοροῦσιν, ἁρπάζουσιν ἐκ τῆς οἰκίας
τὸ χρυσίον, τἀργύρια, πορθεῖται...

Φοροῦσι, scil. adulatores.

20.

Idem 10, 10 : αὐτὰ δὲ τὰ σκεύη καλοῖτ' ἂν ἔπιπλα, ἤγουν ἡ κούφη κτῆσις, τὰ ἐπιπολῆς ὄντα τῶν κτημάτων. ὁ γοῦν Ε. ἐν τοῖς Κ., προειπὼν « Ἄχουε δὴ σκεύη τὰ κατ' οἰκίαν », ἐπήγαγε α παραπλήσιον *πεσυγέγραπται τοῖς τὰ ἔπιπλα. » Ita codex Falck.; vulgo ἄκ. δὲ, quod probo, et τῷ σκεύη articulum restituo, qui vix abesse potest, passim ille omissus per negligentiam a librariis; altero autem versu edit. τέως οὖν γέγραπταί σοι τὰ ἔπ. Mein. κατὰ τὴν οἰκίαν, secundum Phryn. Epit. p. 334; nec minus recte Bentl. Epist. ad Hemsterh. Παραπλήσιόν τέ σοι γέγραπται τἄπιπλα. Sic igitur scribendum arbitror :

Ἄκουε δὲ τὰ σκεύη τὰ κατὰ τὴν οἰκίαν·
παραπλήσιόν τέ σοι γέγραπται τἄπιπλα.

Nunc Meinek. cum Fritzschio præfert quod Bekkerus scripsit

παραπλήσι' ὄντα σοι γέγραπται τἄπιπλα.

21 — 25.

Idem 7, 192 : Σοφοκλῆς δ' ἔφη λινορραφῆ τυλεῖα. Ε. δὲ Κ. « κεκρύφαλοί τε καὶ τύλη. » Codex Jungerm. τύλαι. Idem 10, 39 : τὰ κὲν οὖν τυλεῖα καὶ τὰ κνέφαλα οὐ μόνον παρὰ τοῖς κωμῳδοῖς ἔστιν, ἀλλὰ καὶ ἐν δημοπράτοις πέπραται κνέφαλον καινὸν καὶ κνέφαλον παλαιόν. καὶ τυλεία (cod. Falck. τύλη) δὲ παρ' Εὐπόλιδί ἐστιν ἰάζοντι ἐν τοῖς Κ. καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ Ἰοκλεῖ (immo Ἰφικλεῖ) λέγοντι « Ἀλλὰ καὶ λινορραφῆ τυλεῖα. » Τύλη, *culcita*, a severis Attici sermonis magistris rejicitur, proque eo aut τυλεῖον, aut κνέφαλλον dicendum esse præcipiunt : v. Phrynich. Eclog. p. 173, et Hesych. v. Κνέφαλον. Nec deliquit contra E., qui non germanum Atticum, sed Ionicum hominem, fortasse Protagoram, eo vocabulo utentem induxerat. — In eodem recensu domesticæ supellectilis fuisse videntur μολύβδινοι κρατευταί, quos ex hac fabula commemorat Pollux 10, 97 : E. ἐν τοῖς K. ἔφη « μολυβδίνους κρατευτάς. » Dubitantius eodem refert Mein. hæc apud Erotianum Lex. Hippocr. p. 170 : ἐχῖνος χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως καὶ E. Et illa Pollucis 6, 103 : ἡ ἐλαιηρὰ ἐπίχυσις χαλκεῖόν ἐστι μακρὸν, ἣν χαλκίον E. ὠνόμασε. (Mein. χαλκ. ἐστιν ἣν μακρὸν χαλκίον E. ὠν., secundum Hesychium, Χαλκίον μακρόν : τὴν ἐλαιηρὰν ἐπίχυσιν.

Nec vasa tantum et domesticam supellectilem, sed agros quoque et greges aliaque id genus, sodales Calliæ inter se partitos esse, Mein. colligere sibi videtur e Chœrobosco Bekkeri Anecd. p. 1196, et Phrynicho Præp. soph. p. 17, 29; quorum ille : σπανία ἐστὶν ἡ χρῆσις τῆς βοῦς εὐθείας τῶν πληθυντικῶν, μᾶλλον δὲ οἱ βόες εὕρηται· ἐπὶ δὲ τῆς ὁμοφωνούσης αὐτῇ αἰτιατικῆς, λέγω δὲ τῆς τὰς βοῦς, πλατεῖά ἐστιν (v. ann. ad Dem. 24) ἡ χρῆσις, ὡς ἐν K. Εὐπόλιδος

Θὲς νῦν ἀγροὺς, καὶ πρόβατα, καὶ βοῦς

(v. ann ad Xenoph. Anab. 3, 4, 9); Phrynichus autem, Ἀσκεῖν, καὶ ἀσκηταὶ, καὶ ἀσκητικῶς : τὸ ἀγωνιστικῆς ἐπιμελείας τυγχάνειν ἀσκεῖν ἐστίν. E.

Ἵππον κέλητ' ἀσκοῦντα θές.

In quo falli puto virum doctissimum, et pertinere hos versiculos ad fr. 20, ubi quæ leguntur, sunt verba servi qui a domino dictata, et ab ipso perscripta, huic prælegit, ut solet fieri, ne quid forte

---

18.

a. Alcibiades a mulieribus exito. b. Quid nugaris?
non domum reversus tuam ipsius mulierem exercebis?

19.

Ferunt, rapiunt e domo
aurum, argentum; vastatur....

20

Audi igitur, quæ sint utensilia in ædibus;
et similiter minor perscripta est supellex.

24.

Pone nunc agros, et pecora, et armenta.

25.

Equum desultorium exercentem pone.

omissum aut erratum sit. Dominus intelligendus est Callias, qui, ruris pertæsus, agros gregesque vendere cogitat, ut urbanarum sumptus tolerare possit voluptatum.

26.

Pollux 9, 37 : E. δὲ ἐν K. καὶ συμπαροίκους εἴρηκεν. Idem 6, 159 : E. δὲ συμβίωτοι, συμπάροικοι, καὶ συνήλικες, εἶπε. « Συνήλικες quidem exstat Maric. fr. 5. In primo Bekk. edidit συμβίοτοι, sed rectius Seberus ex codd. συμβιωταί. » *E M.*

27. 28.

Harpocr. p. 152, 7, Περίστατοι : ἀντὶ τοῦ περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι. τὸ ὄνομα καὶ ἐν Ἀρχιδάμῳ (Isocratis) ἐστὶ, καὶ παρ' Εὐπόλιδι ἐν K. — Antiatt. p. 96, 17, Ἐφάπαξ : E. K.

29.

Photius p. 217, Λευκὴ ἡμέρα : ἡ ἀγαθὴ καὶ ἐπ' εὐφροσύνῃ. E. K. « Candidum (i. e. faustum, felicem) E. dixerit diem illum, quo Callias cum sodalibus laute epulabatur. » *E M.*

30.

Schol. Aristoph. Ran. 408 : ὅτι σύνηθες ἦν τὸ ἐπιλέγειν, ὁπότε ἐπαινοῖέν τι ἢ συνομολογοῖεν. καὶ E. K. καὶ ἐν τοῖς πρόσθεν κεῖται. « Recte, puto, Dindorf. hæc retulit ad κάλλιστ' (ἐπαινῶ) Ran. 158. » *E M.*

31.

Pollux 10, 90 : ῥητέον δ' αὐτὸ καὶ χειρόνιπτρον, Εὐπόλιδος εἰπόντος ἐν K., « Φροῦδον τὸ χειρόνιπτρον. » Idem 6, 92, ubi ap. Bekkerum χερόνιπτρον. Conf. fragm. inc. 44 et 53.

XI. ΛΑΚΩΝΕΣ.

Erotianus Lex. Hippocr. p. 246, Μυττωτόν : οἱ μὲν Ἀττικοὶ ὑπότριμμά τι μετὰ σκορόδου γινόμενον λέγουσιν· E. δὲ ἐν Λάκωσι τὸ (τὸν) ἄμυλον λέγων φησὶ

Τὰ σκευάρια μυττωτὸν ἐποίησεν πολύν.

Libri τὰ συκάρι' ἐποίησε μ. π. Sed interpres latinus : *vascula fecerunt multum* μυττωτόν. « Legit igitur σκευάρια. Lobeckius Pathol. p. 391, τὰ φυτάρι' ἐξεποίησε μ. π. Ceterum nescio an Eupolidi Eubuli nomen substituendum sit, cujus Lacones passim laudantur. » *E M.*

XII. ΜΑΡΙΚΑΣ.

« Celebris itidem multisque scriptoribus memorata est fabula Μαρικᾶς inscripta, quo Hyperbolum, turbulentissimi hominem ingenii, ab Eupolide significatum esse diserte testantur Aristoph. Nub. 547 seqq., Quintil. 1, 10, 18, schol. Ran. 577, aliisque locis. Nomen barbarum (Persicum: v. Bernard. ad Hesych.) Hesych. Μαρικᾶν : κίναιδον, οἱ δὲ ὑποκόρισμα παιδίου ἄρρενος βαρβαρικόν. Sic Mein. pro βαρβαρικοῦ. (Non inepte comparaveris vocem μαρίχη, qua τὸ τῆς γυναικὸς μόριον indicari auctor est Theognostus Bekk. Anecd. p. 1396.) Genitivus Μαρικοῦ exstat in scholio ad Nub. 545; Μαρικᾶντος ap. Cram. Anecd. Oxon. 4, p. 335, 32 : τὸ δὲ Μαρικᾶς (l. -κᾶς) Μαρικᾶντος πέπλεκται (scrib. πέπλασται. *Both.*), ἀλλὰ καὶ ἰσοσυλλάβως· accusativus Μαρικᾶντα pro Μαρικᾶν apud Herodianum Eust. ad Iliad. p. 300, 22. — Acta fabula secundum didascalias (v. schol. ad Nub. 549) anno tertio post primas Nubes, h. e. olymp. 89, 4 (ante Chr. nat. 420). Aristoph. loco illo Nubium

Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν,
ἐκστρέψας τοὺς ἡμετέρους Ἱππέας κακὸς κακῶς,
προσθεὶς αὐτῷ γραῦν μεθύσην, κτλ.

ex quibus hoc certe ad argumenti rationem colligas, ut Cleonem ab Aristophane, sic fere Hyperbolum ab Eupolide irrisum fuisse. Anus ista ebria fuit Hyperboli mater, quam hic cordacem saltantem induxerat ridiculi causa. » *E M.*

1.

Schol. Æschyli Pers. 64, 65, Πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χώραν : ταῦτα δὲ κωμῳδεῖ E. ἐν Μαρικᾷ,

Πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη Μαρικᾶς.

« Chori verba gaudentis, Hyperbolum a nescio qua expeditione reversum esse. » *E M.*

2.

Quintil. Institt. or. 1, 10, 18 : *Eosdem utriusque rei* (grammaticæ et musicæ) *præceptores fuisse, cum Sophron ostendit,... tum Eupolis, apud quem Prodamus et musicen et litteras docet, et Maricas, qui est Hyperbolus, nihil se ex musicis scire nisi litteras confitetur.* « Derivavit hæc E. ex Aristophanis Eq. 188, 189. » *E M.*

3.

Schol. Plat. Bekker. p. 379 : τάττεται δὲ (τὸ

31.

Ablatum est mantile.

MARICAS.

1.

Penetravit quidem jam urbium vastator Maricas...

ἄτοπον) καὶ ἐπὶ τοῦ ἀνυπόπτου. E. M. « Καὶ πόλλ' ἀγάθ' ἐν τοῖσι κουρείοις ἐγὼ ἀτόπως καθίζων, κοὐδὲ γιγνώσκειν δοκῶν. » Scribamus

Καὶ πολλ' ἐγῷδ' ἐν τοῖσι κουρείοις ἑκὼν
ἀτόπως καθίζων κοὐδὲ γιγνώσκειν δοκῶν. »

Ἑκὼν, libens, *libenter*, Cf. Pherecrat. fr. incert. 30, Hermipp. Ἀθ. γον. 1. Γιγνώσκειν, scil. τὰ ῥηθέντα, res de quibus colloquuntur in tonstrinis. Dure Bergk. et Mein. Καὶ πόλλ' ἔμαθον ἐν etc. Alterum versum Pherecrati tribuit gramm. Bekk. An. p. 460, 12. Sic autem, ut videtur, Hyperbolus doctrinam suam, talibus in locis acquisitam, venditans.

4.

Eustath. ad Il. p. 300, 22 : ὁ δὲ Ἡρωδιανὸς τοῖς εἰρημένοις παραπηγνὺς καὶ τὸν παρὰ τῷ Κωμικῷ (Nub. 549) Μαρικᾶν, τὸ βάρβαρον ὄνομα, διὰ τοῦ ντ κλιθῆναι λέγει, παραφέρων χρῆσιν ταύτην

Ἀλλ' οὖν ἔγωγέ σοι λέγω Μαρικᾶντα μὴ κολάζειν.

« Eupolidis esse versum jam olim indicavi. Secutus est Bergk. Commentt. p. 356, Niciæ hæc verba esse conjiciens, pœnam deprecantis, Hyperbolo ab Atheniensibus impositam. Ita enim existimat, ut Aristoph. in Equitt. Cleoni adversarium finxit ἀλλαντοπώλην quendam, sic Eupolin Hyperbolo opposuisse Niciam, et postremo Hyperbolum, ab hoc superatum, videri Populi gratia excidisse. » *E M*. Cf. prolegomena fabulæ.

5.

Plut. V. Nic. cap. 4, de Niciæ magna liberalitate : ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις ἢ τοῖς εὖ πάσχειν ἀξίοις. καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς ἡ δειλία, καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν καὶ παρὰ τῶν κωμικῶν ἔστι. Allato Teleclidis incertorum dramatum fragmento 1, sic pergit : ὁ δ' ὑπ' Εὐπόλιδος κωμῳδούμενος ἐν Μαρικᾷ παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων λέγει

α. Πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ;
β. Οὐδ' εἶδον, εἰ μὴ 'ναγχος ἑστῶτ' ἐν ἀγορᾷ.
α. Ἀνὴρ ὁμολογεῖ Νικίαν ἑορακέναι!
καίτοι τί παθὼν ἂν εἶδεν, εἰ μὴ προὐδίδου;
γ. Ἠκούσατ', (ἢ οὐκ ἠκούσατ',) ὦ συνήλικες,
ἐπ' αὐτοφώρῳ Νικίαν εἰλημμένον;
β. (Τὸν Νικίαν;) ὑμεῖς γὰρ, ὦ φρενοβλαβεῖς,
λάβοιτ' ἂν ἄνδρ' ἄριστον ἐν κακῷ τινι;

Apud Plutarchum intolerabilis est ambiguitas verborum πρόσοδος αὐτοῦ, nec dubie ponendum ἀπ' αὐτοῦ, *ab illo*, Nicia. Colloquuntur hoc l. viri Athenienses, qui in foro convenerant, ut solebant; quorum unus interrogatus ab alio, quando vidisset Niciam, quum respondisset se tantummodo nuper eum vidisse in foro stantem, alter, quasi id fassus etiam conscius sit sceleris, cujus insimulabatur Nicias, exclamat « Vir fatetur se Niciam vidisse! » Statim tamen, ubi pauperem hominis habitum adspexit, verbum elapsum reprehendens addit « Quanquam cur eum convenisset, nisi prius a Nicia donatus, ut iterum stipem ab eo emendicaret? » Sic enim accipiendum esse verba εἰ μὴ προὐδίδου, sensit Bergkius Commentt. p. 356. Interea tertius aliquis accurrens Niciam comprehensum et in flagranti crimine deprehensum nuntiat (v. Thuc. 7, 39 - 41) : quos refutat pauper, tanquam insanientes, qui non vereantur optimo civi culpam attribuere. Quod attinet vulgo edita, versu 3 libri Ἀνὴρ et ἑωρ. : correxit Runkel. V. 4 eorundem aliquot solenni varietate μαθὼν, fortasse rectius. Versus 5 et 7 probabiliter explevi, in quibus, ut apud Plutarchum, similia, similibus fraudi fuerint. Uncini additamentis immissi sunt. Συνήλικες ex Eupolide affert Pollux 6, 159. Vid. Κολ. fr. 26.

6.

Schol. Aristoph. Av. 1556 : δύο δέ εἰσι Πείσανδροι, καθάπερ E. ἐν M. φησιν

α. Ἄκουε νῦν, Πείσανδρος ὡς ἀπόλλυται.
β. Ὁ στρεβλός; α. Οὔκ, ἀλλ' ὁ μέγας, ὀνοκίνδιος.

3.

Multaque comperio in tonstrinis libenter
sedens, non suspectus, et ne intelligere quidem visus.

4.

Itaque ego tibi edico, Maricantem non esse castigandum.

5.

a Quamdudum enim Niciam convenisti?
b. Ne vidi quidem eum, nisi nuper, quum staret in foro.
a. Vir fatetur se vidisse Niciam.
Quanquam, cur in conspectum ejus venerit, nisi ante donatus?
c. Audivistis, (an non audivistis,) sodales,
Niciam in flagranti crimine deprehensum esse?
b. (Niciamne?) vos igitur delirantes
virum optimum, velut flagitio aliquo pollutum, deprehenderitis?

6.

a. Audi nunc, quomodo Pisander perierit.
b. An strabo? a. Non, sed magnus, asinarius.

« Duo Pisandri in illorum temporum historia commemorantur, quorum alter nullius homo dignitatis, στρεβλὸς dicitur (Photius p. 543, 1, στρεβλὸν τὸν στραβὸν λέγουσιν, ὡς E., et Zonar. Lex. p. 1675); de altero celeberrimo schol. ad Æschinem De falsa leg. § 51 : οἱ περὶ Πείσανδρον τὸν Ἀχαρνέα, δημαγωγὸν, ἔπεισαν τὸν δῆμον, ἐπεὶ δεῖται τὰ πράγματα σπουδῆς καὶ ἐπινοίας ταχείας, ποιήσασθαι κυρίους ἁπάντων Τετρακοσίους (olymp. 92, 1). Schol. Aristoph. Lysistr. 490 : ἔστι δὲ καὶ ἄλλος Πείσανδρος, ὁ Ὀνοκίνδιος, ὡς E. διακρίνει τὴν ὁμωνυμίαν ἐν Μαρικᾷ. De venalitate ejus v. schol. Avium et Lysistr. ll. cc. » *E M.* Hist. crit. Com. p. 176 seq. Ceterum versu 2 libri οὐ ἀλλ', hausta κ littera ab α simili, quæ sequitur. Correxit Toup. Emend. 2, p. 67. Οὐνοκίνδιος, *asinarius*, cognomen ridiculum Pisandri apud Comicos; « et præcipua quadam laude ferebantur asini Acharnensium. Diogen. Proverb. 1, 26, Ἀντρώνιος ὄνος : ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ ἀνενεργήτων. ἐν Ἀντρῶνι γὰρ, ὥς φησι Φερεκράτης, μεγάλοι ὄνοι ἐγίνοντο. Ἀχαρνικοὶ ὄνοι ἐπὶ τῶν αὐτῶν. Hesych. Ἀχαρνικοὶ ὄνοι : ἐπὶ τῶν μεγάλων οὕτως ἔλεγον. » *M.* Cf. Schneider. Lex. v. Ὀνοκίνδιος.

7.

Schol. Soph. OEdip. Col. 1600 : εὐχλόου Δήμητρος ἱερόν ἐστι πρὸς τῇ ἀκροπόλει. καὶ E. M.

Ἀλλ' εὐθὺ πόλεως εἶμι· θῦσαι γάρ με δεῖ
κριὸν Χλόῃ Δήμητρι.

ἔνθα δηλοῦται, ὅτι καὶ κριὸς, (οὐ) θήλεια τῇ θεῷ ταύτῃ θύεται· οὕτω δὲ τιμᾶται ἐκ τῆς κατὰ τῶν κήπων χλόης· θύουσί τε θαργηλιῶνος ἕκτῃ. De Cereris Χλόης sanctuario in clivo arcis Athearum Mein. evolvi jussit Leake *Topogr. of Ath.* p. 172 seqq., et de ipsa dea Creuzer. Symbol. 4, p. 314. Fritzschius (Actt. Societ. Gr. p. 138) his verbis ostendi ait in jus vocatum Hyperbolum : nunc enim ejus matrem gratias acturam esse Cereri, quod judices filium absolvissent. Mein. autem malit, id eam velle propterea, quod filius salvus ab aliqua expeditione redierit. Cf. fr. 1. Ceterum inepte schol. κριὸς θήλεια : inseruimus οὐ, quod forte neglectum fuerit post ος simile. Vox θήλεια per se intelligatur; alioquin etiam οἷς excidisse putarem inter θήλεια et τῇ propter α et οι, pariterque σ et τ, similia in libris.

8.

Schol. Aristoph. Plut. 1037, de τηλίᾳ quærens : τοῦτο τί ἐστιν, οὐκ οἶδα· ὅτι δὲ συμβάλλεται (add. τῷ) ἐν M. Εὐπόλιδος οἶδα. κἀκεῖ γὰρ τὴν Ὑπερβόλου μητέρα τηλίᾳ εἰκάζει, τῇ πλατείᾳ σανίδι. τινὲς δὲ τηλίαν ξύλον φασὶ πλατὺ, εἰς ὃ οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπιξηραίνουσιν. Et paucis interjectis : τηλία ἔχει μέντοι καθ' ἑαυτὸ ἄπορον· ἐὰν δὲ τὸ ἐν M. προσέλθῃ, ἔνθα εἰς τηλίαν φησὶ τὰ τοῦ Ὑπερβόλου ὀστᾶ ἐμβεβλῆσθαι, ἀπορώτερον ἔσται. ζητητέον οὖν. Apud Aristophanem l. c. anus :

Διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις.

Cui Chremylus respondet :

Εἰ τυγχάνει γ' ὁ δακτύλιος ὢν τηλία.

Ubi τηλία intelligenda videtur margo rotunda cribri. De Eupolidis altero loco, quum ipsa verba desiderentur, difficilius est judicium; nec sane Hyperbolo vivente ossa ejus injici tabulæ vel e clavis suspendi poterant, sed augurari poterat aliquis, eventum iri mortuo, ut combusti ossa non sepelirentur, sed spectanda exponerentur, tanquam patibulo affixa, propter maleficia hominis. De forma τῆς τηλίας pluribus Bekkeri gramm. Anecd. p. 275, 15 : ἡ τηλία δὲ σανὶς ἀλφιτοπωλικὴ πλατεῖα, προσηλωμένας ἔχουσα κύκλῳ σανίδας τοῦ μὴ τὰ ἄλφιτα ἐκπίπτειν. De Hyperbolo cf. Πόλεις fr. 20. De matris Hyperboli partibus in hac fabula supra dictum.

9.

Ælianus V. H. 12, 30 : εἰς τοσοῦτον δὲ ἄρα Κυρηναῖοι τρυφῆς ἐξώκειλαν, ὥστε Πλάτωνα παρακαλοῦν, ἵνα αὐτοῖς γένηται νομοθέτης· τὸν δὲ ἀπαξιῶσαί φασι διὰ τὴν ἐξ ἀρχῆς ῥαθυμίαν αὐτῶν. ὁμολογεῖ δὲ καὶ E. ἐν τῷ M. « ὅστις αὐτῶν εὐτελέστατος, σφραγῖδας εἶχε δέκα μνῶν. » παρῆν δὲ θαυμάζεσθαι καὶ τοὺς διαγλύφοντας τοὺς δακτυλίους. Scribam, versibus quoque restitutis,

— Αὐτῶν δ' ὅστις εὐτελέστατος,
εἶχε δεκάμνουν σφραγῖδα.

« Attigit hæc Lessing. Epist. antiquar. 23, p. 164, 171. » *M.*

10 — 12.

Antiatt. p. 79, 10, Ἁμαρτωλία : Ἀριστοφάνης Εἰρήνῃ, E. M. Ridicule in vulgatis libris Comici Pac. 415 ἁρματωλίας. — Idem gramm. p. 99, 11, Θερισμόν : ἀντὶ τοῦ ἀμητόν. Ἡρόδοτος τετάρτῳ (42), E. M. Apud Herodotum quidem hodie libri ἀμητὸν, sed vereor ne hæc sit interpretatio vocis rarioris. Ammonius ed. Valck. p. 15 : ὀξυτόνως δὲ (ἀμητός) ὁ καιρὸς τοῦ θερισμοῦ, *tempus metendi.*

7.

At in urbem eo : immolare enim me oportet
arietem Cereri Chloæ.

9.

Et eorum tenuissimus quisque
habet annulum decem minarum pretio.

Concinnitate simplici, vere herodotea, historicus dixerit μένεσχον τὸν θερισμόν· θερίσαντες δ' ἂν τὸν σῖτον ἔπλεον. Contra Homerus Il. 19, 223 : ἄμητος δ' ὀλίγιστος, itemque apud Hesiodum Opp. 384 ponendum est ἄρχεσθ' ἀμήτου. — Idem p. 111, 5, Ὀφλισκάνειν : E. Μαρικᾷ. « Editum μακαρισμῷ, ut μακαρικάσῃ fr. 16, quæ correxi. » *M.*

13.

Apollonius De pronom. p. 369 Bekker. : νὼ, (immo νῷ, pro νῶϊ) μονοσυλλάβως E. M.

— Νῷ γὰρ, ἄνδρες, οὐχ ἱππεύομεν.

(Malim ὦνδρες.) καὶ ἔτι ἐν Φίλοις·

— Εὐφρανῶ δὲ νώ.

14.

Athen. 15, p. 690, E : ψάγδης Ἀριστοφάνης (μνημονεύει) Δαιταλεῦσιν (fr. 9),

Φέρ' ἴδω, τί σοι δῶ τῶν μύρων; ψάγδαν φιλεῖς;

E. δ' ἐν M.

Ψάγδαν ἐρυγγάνοντα.

Idem p. 691, D : τῆς δὲ λεγομένης σάγδας (scribamus τὴν δὲ λεγομένην σάγδαν), μύρον δ' ἐστὶ καὶ τοῦτο, Ἐπίλυκος ἐν Κωραλίσκῳ « Βάκχαρίς τε καὶ σάγδας ὁμοῦ. » καὶ Ἀριστοφάνης ἐν Δαιτ., καὶ ἐν M. E., σάγδαν ἐρυγγάνοντα λέγων, ὅπερ ὁ Θυατειρηνὸς Νίκανδρος ἐπὶ τοῦ ἄγαν χλιδῶντος εἰρῆσθαι ἀκούει. Proprie Varro R. R. 3, 2, 3 : *cujus aves hospitales etiam nunc ructor*; figurate Horatius A. P. 457 : *hic dum sublimis versus ructatur*. Erotianus Lex. Hippocr. p. 396, Ψάγδας : μύρου εἶδος. μέμνηται καὶ E. ἐν M. Σάγδας an ψάγδας scribatur, perinde esse putat Mein., de quo adhuc dubitem, quum sagdam gemmam porracei coloris dicant Plinius 37, 10, et Solinus cap. 50.

15.

Epimerismi Homer. apud Cramer. Anecd. Ox. 1, p. 446, 6 : τὸ ἐωνούμην E. M.

Κρούων γε μὴν αὐτὰς ἐωνούμην ἐγώ.

Immo Κρούειν, intellecto ὥστε. Αὐτὰς, τὰς πλάστιγγας, *lances* libræ; v. Schneider. Lex. v. Κρουσιμετρεῖν.

16. 17.

Gramm. Bekkeri Anecd. p. 467, Αὐτοκάβδαλον : E. M. Sic recte Runkel. pro αὐτοκάρδαλον. Codex E. μακαρικάσῃ pro Μαρικᾷ. — Pollux 10, 73 : E. ἐν τῷ M. καὶ σταμνάριον εἴρηκεν.

18.

Harpocr. p. 174, 13 : ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι, δεδήλωκεν E. ἐν M. Ead. omisso titulo fabulæ, Photius, Suidas, Etym. M. v. Ταμίαι, et Philemon Lex. p. 151.

19.

Hesych. : Δούλων πόλις. E. M.

— Κώμην γὰρ λέγει δούλων πόλιν.

(Malim λέγω, *existimo*, ut Aristoph. Ach. 472. Codex εὔπομα μαρικαίου κώμην, unde vulgo editum οὐ κώμην.) ἔστι δὲ ἐν Κρήτῃ καὶ Λιβύῃ. De urbe Dulopoli cf. Cratin. Seriph. 2.

20.

Photius p. 270, 12, Μικρὸν τοῦ ὀβολοῦ : τίμιον. λέγεται δὲ ἐπὶ τῶν πονηρῶν. E. M.

Τῶν γὰρ πονηρῶν μικρόν ἐστι τοὐβολοῦ.

Eadem Suid. v. Μικρόν. Uterque μ. ἐπὶ τοῦ ὀβολοῦ, quod correxit Portus.

21.

Idem p. 657, et Suidas, Ψῶζα : νόσος τις. E. M.

Ὃς θυμήνας τοῖς στρατιώταις λοιμὸν καὶ ψῶζαν ἔπεμψεν.

οἱ δέ φασι καὶ τῆς νόσου εἶδος, ὅτι κνησμὸς μετὰ δυσωδίας. Scabiem dici putes, saneque assentior Toupio ψῶραν reponenti, quum præsertim similes sint ρ et ζ litteræ (v. Athen. p. 236, C, ubi pro καὶ χαίρω τι ponendum videtur καγχάζω τε, etc.), itemque facile ab imperito scriptum fuerit ψῶζαν pro ψωίαν. V. Schneideri Lex. v. Ψώα. De ψώρᾳ cf. Arrian. De venat. c. 9. Quod ad ψῶζαν attinet, vocem adeo κακόφωνον ægre tulissent aures græcæ, neque eam alias legimus.

22.

Schol. Aristoph. Nub. 552 : ἐν τῷ M. προτετελεύτηκε Κλέων. Cf. Mein. Hist. crit. Com. p. 192.

23.

Steph. Byzant. v. Γάδειρα, p. 255 : καὶ κτητικὸν Γαδειρικός. E. ἐν M.

13.

Nos enim, viri, non sumus equites.

14.

Psagdan ructantem.

15.

Ut impellam eis (*lances*) emi ego.

19.

Pegum enim dico servorum urbem.

20.

Mali enim obolum valent.

21.

Qui iratus militibus pestem et scabiem immisit.

Πότερ' ἦν τὸ τάριχος Φρύγιον ἢ Γαδειρικόν,

« Salsamenta Phrygia et Gaditana conjungit etiam Pollux 6, 48; de Gaditanis præter Antiphanem et Nicostratum Athen. 3, p. 118, D, v. Hippocratis locos apud Foesium Œcon. Hippocr. p. 612. » *E M.*

24.

Idem v. Θεσσαλία, p. 394 : λέγεται δὲ Θετταλίζω, ὡς Δωρίζω. ἀφ' οὗ τὸ Ἐντεθετταλίσμεθα παρὰ τῷ E—δι ἐν M., τουτέστι χλαμύδα Θετταλικὴν φοροῦμεν, ἢ Θετταλικὸν πτερόν. Pollux 7, 46 : καὶ ἐντεθετταλίσμεθα ἔλεγον τὸ χλαμυδοφοροῦμεν.

25.

Suidas, Ἀμφορεαφόρους : τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας.... E. M.

Περιήλθομεν καὶ φῦλον ἀμφορεαφόρων.

Libri E. Μαρικᾷ καὶ Περ. ubi καὶ inutile natum fuerit e vicino-κᾷ. Tum iidem φίλον (A cod. φύλον) ἀμφορέα φέρων. Correxit Piers. ad Mœr. p. 62. Ceterum cf. Incert. 5, 6.

XIII. ΝΟΥΜΗΝΙΑΙ.

Argumentum Aristoph. Acharnensium: ἐδιδάχθη ἐπ' Εὐθυδήμου ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου, καὶ πρῶτος ἦν. δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζεται. τρίτος E. Νουμηνίαις. « In his Elmslejus Auct. ad Acharn. p. 113 verba οὐ σώζεται post Νουμ. transponenda esse suspicatur, ut neque Cratini neque Eupolidis drama superesse indicetur. Titulus Νουμ. videtur spectare ad sacra novilunii, de quibus Porphyrius De abstin. 2, p. 129 : θύειν ἐν τοῖς προσήκουσι χρόνοις κατὰ μῆνα ἕκαστον ταῖς νουμηνίαις στεφανοῦντα καὶ φαιδρύνοντα τὸν Ἑρμῆν καὶ τὴν Ἑκάτην καὶ τὰ λοιπὰ τῶν ἱερῶν, ἃ δὴ τοὺς προγόνους καταλιπεῖν, καὶ τιμᾶν λιβανωτοῖς καὶ ψαιστοῖς καὶ ποπάνοις. Cf. Theopompus Bekker. Anecd. p. 328, 29, et Aristoph. Vesp. 96 cum scholiis. Fabularum a sacrorum solennibus denominatarum exempla habemus compluria, v. c. Δωδεκάτην Philyllii, Χαλκεῖα Menandri. Cf. Lobeck. Aglaoph. p. 374. » *E M.*

XIV. ΠΟΛΕΙΣ.

« Chorum hujus fabulæ, sicut Insularum Aristophanis, ex fœderatis Atheniensium civitatibus constitisse, ostendunt fragmenta. Eas non per στοίχους et ζυγὰ dispositas, sed aliam post aliam, comparuisse, ut in Avibus, probabilis est opinio Dobræi ad Pluti versum 718, et Meieri De Andoc. Orat. c. Alcib. 5, 3; facileque existimes, suis quamque ornatam insignibus (v. fr. 1, 4, 5) in orchestram prodiisse. Cognata Πόλεων et Δήμων argumenta recte, ut videtur, Raspius Comment. de Eup. Demis et Civitatibus, p. 83, ita distinguit, ut statuat, in Δήμοις Eupolin tractasse res eas, quæ pertinerent ad reip. disciplinam domesticam, in Πόλεσιν autem exhortatum esse Athenienses, ne diutius in socios avare crudeliterque consulerent. Idem ex Amyniæ legatione commemorata in utroque dramate non male colligit, Πόλεις eodem ferme tempore, quo Vespas, commissas esse, h. e. olymp. 89, 2, ante Siculam expeditionem. » *E M.*

1.

Schol. Aristoph. Pluti 718 : ἡ Τῆνος δ' αὕτη θηριώδης δοκεῖ εἶναι. δηλοῖ καὶ E. Πόλεσιν·

— Τῆνος αὕτη,
πολλοὺς ἔχουσα σκορπίους.

Libri versu 1 τῆνος δ' αὕτη. Correxit Dobr. ad Plut. l. c., perperam ille σκορπίους interpretatus *serpentes*.

2.

Schol. Ar. Avium 881 : λέγει δὲ περὶ τῆς Χίου καὶ E. ἐν Π.

— Αὕτη Χίος, καλὴ πόλις (πολιτῶν)·
πέμπει γὰρ ἡμῖν ναῦς μακρὰς, ἄνδρας θ', ὅταν δεήσῃ,
καὶ τἄλλα πειθαρχεῖ καλῶς, ἄπληκτος ὥσπερ ἵππος.

Versus 1, præterquam quod initio caret, etiam μείουρος est, sed explendus, opinor, nomine πολιτῶν, quod facile neglectum fuerit, præsertim compendio scriptum, post πόλις, adjuvatque ipsam sententiam, ne καλὴ dicta videatur civitas ob ele-

23.

Num Phrygium salsamentum fuit, an Gaditanum ?

25.

Circumivimus etiam gentem amphoras portantium [mercenariorum.

CIVITATES.

1.

Tenus hæc,
quæ multos habet scorpios.

2.

— Hæc Chius, nobilis civitas :
mittit enim nobis naves longas, et viros, si opus est,
ceteraque paret bene, ut equus non ictus (calcaribus).

gantiam ædificiorum, sed civium causa καλῶν κἀγαθῶν. De genitivo causæ v. indices nostros poetarum scenicorum, etc. Hermann. Opusc. 5, p. 295 supplebat πάρεστι. V. 2 cod. ὑμῖν. V. 3. « Apte Raspius comparat Pind. Olymp. 1, 20 : δέμας ἀκέντητον ἐν δρόμοισι παρέχων, ubi Bœckhius affert Plat. Phæd. p. 253, D, ἄπληκτος ἵππος, κελεύσματι μόνον καὶ λόγῳ ἡνιοχούμενος. » *M.*

3.

Photius p. 654 : Ψιλὴ γῆ : ἡ μὴ πεφυτευμένη.

Πεφυτευμένη δ' αὕτη 'στὶν ἢ ψιλὴ μενοῦν,

Πόλεσιν. Vitiose liber ψιλὴ μόνον, ut Athen. p. 192, E; 367, C; 453, F; 480, F. (Contra μόνον pro μενοῦν reponendum videtur apud Philemonem Athen. 14, p. 659, B.) Μενοῦν etiam aliis in mentem venit, sed plura temere mutantibus. « Forsan ἢ 'ψιλωμένη. Sterilem aliquam dicere videtur insulam, Atheniensibus fœderatam, v. c. Seriphum. Γῆ πεφυτ. et ψιλὴ similiter vel conjuncta, vel opposita, invenias Demosth. Lept. p. 491, 27, Themist. Orat. 2, p. 28, E; 23, p. 298, C, Libanium 1, p. 611 Reisk., ut Porson. et Dobr. annotaverunt. » *E M.* Cf. Xenoph. Anab. 1, 5, 5.

4.

Harpocratio p. 14, 22 : μνημονεύουσι δὲ οἱ κωμικοὶ πολλάκις τῶν ἀμοργίνων, ὡς καὶ Ἀριστοφάνης Λυσιστράτῃ (150) καὶ E. Π. « Probabiliter Rasp. p. 88 conjecit, hæc ad Amorgum insulam spectare. » *E M.*

5.

Schol. Aristoph. Pac. 1176 : εἰς κιναιδίαν διαβάλλεται, ὥστε μηδὲ τῶν ἀναγκαίων διὰ τὴν εὐρύτητα κρατεῖν δύνασθαι, ὡς (malim — δύνασθαι καὶ E. : nam ὡς alienum est, passimque καὶ et ὡς confusa) E. ἐν Π.

α. Ἡ δ' ὑστάτη ποῦ 'σθ'; β. Ἥδε Κύζικος πλέα στατήρων.
Ἐν τῇδε τοίνυν τῇ πόλει φρουρῶν ἐγώ ποτ' αὐτὸς
γυναῖκ' ἐκίνουν κολλύβου, καὶ παῖδα, καὶ γέροντα,
κἀξῆν ὅλην τὴν ἡμέραν τὸν κύσθον ἐκκορίζειν.

Gloriari videtur ille, qui hæc narrat (Atheniensis puto), in urbe opulenta, ubi noctes stateribus emerentur, se venustate vel moribus adeo acceptum fuisse omni populo, ut tantum non gratis scortaretur; quam fœditatem sub persona principis alicujus viri pronuntiatam esse in hoc dramate, non adducor ut credam viro docto. V. 1 Cobetus ἡ δ' ὑστάτη τίς ἥδε; B. Κύζικος. Qui versum 2 et seqq. priori interlocutori tribuit. Ibid. ἐγὼ addidit Hermannus Opusc. 5 p. 296, corrigens etiam reliqua cod. Veneti vitia, ἐκίνουν δὲ γυναῖκα κολύβου... κάξηνό (superposito δ huic postremæ lit.) τὴν ἡμ. τὸν σκύθον ἐκκ. De Cyzico v. Bæhr. ad Herodot. 4, 14, et J. Marquardt., *Cyzicus u. sein Gebiet*, Berolini, 1836. *Stater* aureus Cyzicenus valebat 28 drachmas (v. Vitruv. 6, 6; Plin. H. N. 32, 6); argenteus 4 : v. Gronov. De pecun. vet. 3, 7.

6.

Harpocr. p. 27, 19 : Ἀπόκρισις ἡ ἀπολογία. Λυσίας, καὶ Δημοσθένης κατ' Αἰσχίνου.... E. Π.

— Ὡς ὑμῖν ἐγὼ
πάντ' ἀποκρινοῦμαι πρὸς τὰ κατηγορούμενα.

Sic Meinek. pro πάντως ἀπ. Verbis olim contra codices alio ordine editis, Eupolideum metrum restituerat Hermann. Opusc. 5, p. 297.

7.

Athen. 10, p. 425, A : τοσαύτη δ' ἦν ἡ τῶν παλαιοτέρων τρυφὴ περὶ τὰς πολυτελείας, ὥστε μὴ μόνον οἰνοχόους ἔχειν, ἀλλὰ καὶ οἰνόπτας. ἀρχὴ γοῦν ἐστιν οἱ οἰνόπται παρ' Ἀθηναίοις, ἧς μνημονεύει ἐν ταῖς Π. E. ἐν τούτοις·

Οὓς δ' οὐκ ἂν εἵλεσθ' οὐδ' ἂν οἰνόπτας πρὸ
νυνὶ στρατηγούς... Ὦ πόλις, πόλις, [τοῦ,
ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς!

Versum 2 Hermann. Opusc. 5, p. 297, adstipulante Meinekio, supplevit addendo ἔχομεν. Sed hoc parum est : corruptionis enim ejusmodi veterum librorum ansam præbere solet vicinarum vocum similitudo. Id ego secutus vestigium reperi ηὕγασ', i. e. ηὔγασα, *vidi*, sensu medii. Id verbum mutatum in ηγασ' et ηγους facile haustum fuerit a simili - ηγους, quod antecedit; v. ann. ad Euri-

---

3.

Num consita hæc est, an nuda regio?

5.

a. Ultima vero ubi est? b. Hæc Cyzicus est, plena [staterum.
Ea igitur in urbe ego quum aliquando essem præsi- [diarius miles,
mulierem futui collybo, et puerum, et senem,
licuitque toto die cavum purgare.

6.

— Vobis enim ego
omnia respondebo de iis, quorum accusatus sum.

*7.

Quos vero antea ne vinispices quidem elegissetis,
nunc duces *vidi*. O civitas, civitas,
ut tu es felicior quam sapientior!

pidis Bacch. 493, Cratini Incert. 10, Pherecrat. Pers. 4. Homerus Il. 23, 458 :

οἷος ἐγὼν ἵππους αὐγάζομαι, ἦε καὶ ὑμεῖς;

ubi schol. : αὐγ. : θεωρῶ. Apollonius Soph. αὐγάζομαι : ὁρῶ. « Exscripsit sequentia Suidas v. Δυσβουλία Ἀθηναίων, ubi poetæ nomen excidit; cf. schol. Ar. Nub. 587. Dictum illud, Athenienses feliciores esse quam prudentiores, a multis usurpatum est. » *M.*

8.

Schol. Aristoph. Av. 1297, de oratore Syracosio : οὗτος γὰρ τῶν περὶ τὸ βῆμα. καὶ E. ὡς λάλον ἐν Πόλεσι διασύρει·

Συρακόσιος δ' ἔοικεν, ἡνίκ' ἂν λέγῃ,
τοῖς κυνιδίοισι τοῖσιν ἐπὶ τῶν τειχίων·
ἀναβὰς γὰρ ἐπὶ τὸ βῆμ' ὑλακτεῖ περιτρέχων.

Versu 2 libri κυνιδίοις τοῖς, quod correxerunt Grotius Excerpt. p. 502, et Pors. Miscell. p. 35. Item libri τειχέων, correctum a Dobræo. Hesych. τειχίον : οἱ Ἀττικοὶ τὸν (malim τὸ) περίβολον τοῖς χωρίοις.

9.

Athen. 9, p. 392, E : ὑποριστικῶς δὲ E. ἐν Π. αὐτοὺς (τοὺς ὄρτυγας) κέκληκεν ὀρτύγια, λέγων οὕτως·

α. Ὄρτυγας ἔθρεψας σύ τινας ἤδη πώποτε;
β. Ἔγωγε μικρά γ' ὀρτύγια· κἄπειτα τί;

Versu 1 libri θρέψας, quod correxit Porson. Advers. p. 112, et Miscell. p. 240. Idem præter necessitatem v. 2 μίκρ' ἀττ' ὀρτύγια. « Haud improbabile est, hæc spectare ad Demum, Pyrilampis filium (fr. 17), quem, patris exemplo, avium altorem fuisse constat; v. Bœckh. Dissert. altera de tempore Reipubl. Plat. p. 14. » *M.*

10.

Plut. Vit. Cimonis c. 15 : τὸν δῆμον ἐξηρέθιζον ἐκεῖνά τε τὰ πρὸς τὴν ἀδελφὴν ἀνανεούμενοι, καὶ λακωνισμὸν ἐπικαλοῦντες· εἰς ἃ καὶ τὰ Εὐπόλιδος διατεθρύληται περὶ Κίμωνος, ὅτι

Κακὸς μὲν οὐκ ἦν, φιλοπότης δε κἀμελής·
κἀνίοτ' ἄρ' ἀπεκοιμᾶτ' ἂν ἐν Λακεδαίμονι,
κἂν Ἐλπινίκην τῇδε καταλιπὼν μόνην.

Libri versu 2 κἀνίοτ' ἀπεκ., forte omisso ἄρ' ante ἀπ. propter similitudinem litterarum π et ρ in codicibus vetustis, de qua v. ann. ad Soph. Antig. 294 ed. alt. Ἄρα enim huic sententiæ convenit, qua exemplo probatur ἀμέλεια Cimonis. Minus recte Porson. ad Orest. 581 κἀνίοτ' ἂν ἀπεκοιμᾶτ' ἄν. V. 3 libri male τήνδε (τῆδε) pro τῇδε, *hic*, Athenis. Sensit hoc Meinek. Grotius Excerpt. p. 504 :

Malus haud erat, sed potor atque indiligens :
nam pernoctabat sæpius Lacedæmone —

Schol. Aristidis p. 515 ed. Dind. : πεντήκοντα δὲ τάλαντα ἐπράξαντο (Κίμωνα). Δίδυμος δέ φησιν οὐχ ὅτι ἐλακώνιζεν, ἀλλ' ὅτι Ἐλπινίκῃ τῇ ἀδελφῇ συνῆν· αἴτιοι δὲ τῆς διαβολῆς οἱ κωμικοί, καὶ μάλιστα E. ἐν Π. Eodem respicit Tzetzes Hist. 1, 590 : ἔστι γὰρ πλῆθος ἄπειρον τῶν ταῦτα (de Cimonis consuetudine cum sorore) γεγραφότων, οἱ κωμικοὶ καὶ ῥήτορες Διόδωρος καὶ ἄλλοι.

11.

Schol. Aristoph. Vesp. 1271 : καὶ E. ἐμφαίνει τὴν πρεσβείαν ἐν ταῖς Π.

Χἀμυνίας ἐκεῖνος ἀμέλει κλαύσεται,
ὅτι ἂν ἄγροικος ἵσταται πρὸς τῷ μύρῳ·
ὅτων θ' ἕνεκεν ἔπλευσε κακὸς ὢν εἴσεται.

Libri χὠ 'μυνίας... ὅτι ἀγρ.... μυρίῳ, ὅτι θεῶν ἕνεκ' (cod. Venet. εἵνεκ')... Recte Mein. Χἀμυνίας, Dobr. ad Eccles. 289, μύρῳ. Hermannus Opusc. 5, p. 297, prope verum ὅτι θ' ὧν ἕνεκεν, etc. Ἂν facile excidit ante ἄγ. Male Dobr. ὅτι ὢν ἄγρ. « Amyniæ παραπρεσβείαν ex Eupolide commemorat schol. Ar. Nub. 691 : E. δὲ ὡς παραπρεσβευτὴν, ὅπερ καὶ ἐν ταῖς Σφηξὶ φαίνεται. » *M.*

12.

Idem schol. Ran. 1513, μετ' Ἀδειμάντου τοῦ Λευκολόφου : στρατηγὸς ἦν τοῦ ναυτικοῦ. καὶ E. μέμνηται ἐν Πόλεσιν οὕτως περὶ τοῦ Ἀδειμάντου·

8.

Syracosius autem similis est, quum orat,
caniculis in muris :
suggestu enim ascenso latrat circumcurrens.

9.

a. Num tu jam aliquando coturnices aluisti?
b. Alui coturnices quidem parvulas. Quid tum?

10.

Malus quidem non fuit, sed potum amans et inconsideratus :
itaque interdum cubitum abscessit Lacedæmonem,
vel ipsa Elpinice hîc relicta sola.

11.

Et Amynias iste profecto plorabit,
quia rusticus adstat unguento;
quorumque causa navigavit, in iis ignavum se intelliget.

12.

— Nonne hoc durum est pati me,
Leucolophidæ filium, Porthaone orti?

Οὐκ ἀργαλέα δῆτ' ἐστὶ πάσχειν ταῦτ' ἐμὲ,
τὸν Λευκολοφίδου παῖδα, τοῦ Πορθάονος;

« Versu 1 ἀργαλέα schol. Ravenn., vulgo ἀργαλέον. V. 2 scripsi Λευκολοφίδου pro Λευκολόφου. Leucolophidam Adimanti patrem commemorat Plato Gorg. p. 18, E, et Xenophon Hell. 1, 4, 21. Eum metri necessitate coactus *Leucolophum* dixit Aristoph., nisi forte λευκόλοφον ridiculi causa. Πορθάονος pro Πορθάνος scripsi cum Dindorfio, quanquam, quid sit, quod Leucolophidam Porthaonis filium fecerit, nescimus. Adimantum postea olymp. 93, 4 (ante Chr. nat. 404) in prœlio ad Ægospotamos captum esse narrat Xenophon Hell. 2, 1, 32. » *Mein.* De Porthaone, qui etiam Portheus nominatus est, v. Iliad. 14, 115, Heyn. ad Apollod. 1, 7, 10. Apud Pausaniam quoque 4, 35, Schubart. secundum plures ac meliores libros Πορθάονος pro vulgato Παρθάονος. Apta heroibus illis bellicosis nomina ducta a πέρθω, πέπορθα, πορθάω, πορθέω.

13.

Idem schol. Nub. 351 : σοφιστὴς ὁ Σίμων ἦν καὶ τῶν ἐν πολιτείᾳ διαπρεπόντων τότε, καὶ πάντως τῶν δημοσίων τι ἐνοσφίσατο χρημάτων. μνημονεύει δ' αὐτοῦ καὶ E. ἐν Π., ἐπὶ τοῖς αὐτοῖς διαβάλλων αὐτὸν ἐγκλήμασιν οὕτως·

Ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο.

14.

Idem schol. Vesp. 82 (ubi καταπύγων audit Philoxenus) : καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. E. Π.

Ἔστι δέ τις θήλεια, Φιλόξενος ἐκ Διομείων.

« Hinc θηλυδριῶν choro accensetur, ut Demus (fr. 17), a Libanio Pro saltat. 19, p. 500, D. Non male Rasp. p. 105 hexametrum illum ab Hierocle (fr. 16) inter oracula fusum esse conjicit. » *E M.*

15.

Idem schol. Pac. 1031 : ὁ Στιλβίδης εὐδόκιμος καὶ περιβόητος μάντις... μέμνηται δὲ αὐτοῦ καὶ E. Π.

Ὡς αὖ τίν' ἔλθω δῆτά σοι τῶν μάντεων;
πότερος ἀμείνων ἀμφοτέρων; ἢ Στιλβίδης;

« De Stilbide, Niciæ familiari, cf. Hist. crit. Com. p. 141. V. 1 οὖν cod. Ven. pro αὖ. Fortasse ἄν. » *M.*

16.

Idem schol. Pac. 1046, de Hierocle : οὗτος μάντις ἦν καὶ χρησμολόγος... καὶ E. Π.

Ἱερόκλεες, βέλτιστε χρησμῳδῶν ἄναξ!

Comparavit Dindorf. Æschyl. Sept. 39 :

Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ.

17.

Idem schol. Vesp. 98, τὸν Πυριλάμπους : μέμνηται τούτου καὶ E. ἐν Π.

Καὶ τῷ Πυριλάμπους ἆρα Δήμῳ κυψέλη
ἔνεστιν;

ἦν δὲ καὶ εὔμορφος ὁ Δῆμος. Scripsissem ὁ Δημὸς ex regula de qua ad Iliad. 2, 704; 3, 445, etc., nisi obstare videretur δημὸς, *adeps*. Fortasse igitur Δῆμος ponendum est discriminis causa. Versu 1 libri Δήμῳ ἄρα, contra metrum, quod restituit Mein. Ἔνεστιν, scil. ἐν ὠσίν. « Κυψέλην ἐν ὠσὶν ἔχειν, *sordes in auribus habere*, proverbio dicebantur stupidi et bardi (quemadmodum et Germani de homine inconsiderato ac negligente dicere solent *Er hœrt und sieht nicht*). Comicus incertus Bekk. Anecd. p. 425 :

ἄπλατον ἐν τοῖς ὠσὶ κυψέλην ἔχεις.

(Latinis hoc est *habere aures obtusas, hebetes*, et sensu contrario *purgatas, perpurgatas*, ut apud Horatium et Plautum.) De Demo, Pyrilampis filio, adolescente venusto, veterum scriptorum locos composuit Bœckh. Procem. lectt. æstiv. Berol. 1839. » *E M.* Cf. ann. ad fr. 14

18.

Idem Lys. 270, τὴν Λύκωνος : τὴν Ῥοδίαν λέγει οὕτω καλουμένην, τὴν Αὐτολύκου μὲν μητέρα, γυναῖκα δὲ Λύκωνος, ἐπ' αἰσχροῖς κωμῳδουμένην. E. Π.

Ὥσπερ ἐπὶ τὴν Λύκωνος ἔρρει πᾶς ἀνήρ.

Ms. Barocc. ἔρρει. Vulgo corrupto versu συνέρρει. De Rhodia v. ad Autol. fr. 4 et Amicorum fr. 10.

19.

Idem schol. Ran. 970 : ὅτι (Θηραμένης) δοκεῖ

13.
Ex Heraclea argentum suffuratus est.

14.
Est autem femina quædam, Philoxenus Diomensis.

15.
Quem igitur denuo tibi adeam vatem?
uter amborum melior? an Stilbides?

16.
Hierocles, optime vir prophetarum!

17.
Num igitur Pyrilampis filio Demo sordes
insunt (in auribus)?

18.
Quemadmodum ad Lyconis uxorem vir quivis confluit.

προσγεγράφθαι τῇ πολιτείᾳ, Ἅγνωνος αὐτὸν προσποιησαμένου, ὡς E. Π. Libri forte omisso simili ποιησαμένου, quod correxi. « De Hagnone, Theramenis patre adoptivo, cf. Xenoph. Hell. 2, 3, 20, et schol. Ran. 546. » *M.*

20.

Schol. Luciani Tim. c. 30 : Ὑπερβόλου (cf. Maric. 8) ὡς παρελθόντος νέου τῷ βήματι μέμνηται... καὶ E. Π.

21.

Schol. Aristoph. Acharn. 504 : εἰς τὰ Διονύσια ἐτέτακτο Ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους, ὡς Εὔπολίς φησιν ἐν Π. Cf. schol. ad vers. 378.

22.

Schol. Platonis Bekker. p. 331 : E. ἐν Π. διὰ τὴν χροίαν πύξινον (τὸν Χαιρεφῶντα) καλεῖ. Cf. Aristoph. Nub. 104, Av. 1197 nostræ ed., schol. Vesp. 1399. Tzetzes Exeg. Il. p. 12, 17; Eustath. Il. p. 810, 40; 812, 55, et 1350, 4.

23.

Schol. Hephæst. p. 85 Gaisf. : ἔσθ' ὅτε καὶ τὰς ἰαμβικὰς ἐπιμιγνύουσι ταῖς κατειλεγμέναις συζυγίαις, τῇ τε ἰωνικῇ (——◡◡), καὶ τῇ χοριαμβικῇ πάλιν, προσοδιακὸν καλοῦντες, ὥσπερ E. ἐν ταῖς Π.

Ὦ δέσποτα, καὶ τάδε νῦν ἄκουσον, ἃν λέγω σοι.

« Vulgo ἃ λέγω. Correxit Dobr. apud Gaisf. Versus est archilochius, cujus rationem exposuit Hermannus Doctr. metr. p. 593, et Opusc. 5, p. 208. » *M.* Cf. schol. Hephæst. p. 52 ed. Turnebi.

24.

Photius Lex. p. 362, 12, Οὐσίαν : τὰ χρήματα, ὡς ἡμεῖς. E. Π.

Ὅς τὴν Μαραθῶνι κατέλιφ' ἡμῖν οὐσίαν.

« Codex Ὅς τ. ἐν M. κατέλιπεν ἡ. ο. Correxit Porson. Hoc dicere videtur : Miltiades nobis victoriam Marathoniam tanquam opes ac divitias reliquit. » *E M.*

25.

Suidas v. Ἀπώμοτον, et gramm. Bekkeri Anecd. p. 441, Ἀπώμοτον : ἀπηγορευμένον, φευκτόν·

Τί δ' ἔστ' Ἀθηναίοισι πρᾶγμ' ἀπώμοτον;

E. ἐν ταῖς Π. « Idem versus latet apud Dion. Chrys. 32, p. 655 ed. Reisk. » *M.* Phrynichus Præp. sophist. p. 21, 3, Ἀπώμοτον πρᾶγμα : ὃ ἄν τις ἀπομόσειε μὴ ἂν γενέσθαι. Grotius Excerpt. p. 503 :

Quæ desperanda res Atheniensibus?

26.

Idem : Ἀνέῳγεν, οὐχὶ ἤνοιγεν.... E. Π.

Ἣν οὐκ ἀνέῳξα πώποτ' ἀνθρώποις ἐγώ.

Suid. Ἦδ', et gramm. Bekker. An. p. 399, qui item hæc laudavit, Ὃν οὐκ etc. Correxit Porson. Adv. p. 285. Ἣν θάλατταν, opinor quemadmodum et Latini dicunt *aperire mare*, *apertum mare*. Plinius H. N. 2, 47 : *maria aperit ver navigantibus*. Quo sumpto, Neptunus hæc dixerit. Potest tamen et τέχνην vel quiddam simile intelligi, quod ille vel illa, cujus hæc est oratio (fortasse Minerva), nemini adhuc aperuisse dicat. Æschylus. Suppl. 294:

Καὶ τοῦδ' ἄνοιγε τοὔνομ' ἀφθόνῳ λόγῳ.

27.

Idem, et gramm. Bekkeri Anecd. p. 402, 29 (ubi cod. ἀνήρρησαν), Ἀνήρρησεν : ἀνεφθάρη.

Ὡς μόλις ἀνήρρησ'! οὐδέν ἐσμεν οἱ σαπροί.

Suidas in versu ἀνήρρησεν, οὐδένες μέν. Correxit Porson. Adv. p. 285. Ἀνήρρησ', h. e. ἀνήρρησα, cui respondens ἀνεφθάρην ponendum est apud Suidam. Aristoph. Av. 845 : κατὰ τί δεῦρ' ἀνεφθάρης; ubi v. ann. Οἱ σαπροὶ, proprie *rancidi*, i. e. male olentes, vieti, senes. Aristophanes Pac. 662 : γέρων ὢν καὶ σαπρός. Horatius Epod. 12, 7 :

Qui sudor vietis et quam malus undique membris
crescat odor.

Cf. Plaut. Bacch. 5, 2, 44; Terent. Eun. 4, 4, 21, etc. « Quanto, inquit, cum labore in scenam ascendi! Cf. Raspius p. 95. » *M.*

27. a.

Suidas, Ἀπλήγιος : δασέως, ἁπλοῦς. καὶ E. Π.

Οὐ γὰρ πολυπράγμων ἐστὶν, ἀλλ' ἀπλήγιος.

Eadem gramm. Bekkeri An. p. 425, 18, ubi recte οὐ γάρ. Suidas vulgo οὔτ' ἄν, cujus tamen cod. Oxon. οὔτ' ἄρ', i. e. οὐ γάρ. Vertit Grotius :

Non curiosus ille est, sed simplex nimis.

23.
O domine, etiam hæc nunc audi, quæ tibi dico.

24.
Qui Marathoniam nobis reliquit opem.

26.
Quam unquam ego hominibus aperui.

27.
Quam ægre irrupi! nihili sumus nos putidi.

28.

Gramm. Bekkeri An. p. 431, 3, Ἀπολιβάξαι: τὸ ἐκρυῆναι, ἀπὸ τῆς λιβάδος· ἄλλοι δὲ πόρρω ἀπελθεῖν, παρὰ τὴν Λιβύην (? !).... E. Π.

Ὁ Φιλῖνος οὗτος, τί ἄρα πρὸς ταύτην βλέπεις;
οὐκ ἀπολιβάξεις εἰς ἀποικίαν τινά;

V. 1 codex Φίλιννος, forma æolica. (Φίλιννα Ar. Nub. 663.) Φιλῖνος Runkel., Mein. Philinus, dives Atheniensis, notus est ex Demosthene; cognominis Cous, athleta, e Pausania 6, 17. « Ταύτην retulerim ad πόλιν aliquam. » Rasp. p. 91. V. 2 liber ἀπολιβάζεις. Correxit Fritzsch. De Aristoph. Datal. p. 75, laudato Avium v. 1467.

29.

Idem p. 453, Ἄσπουδος: ὁ μὴ σπουδαῖος. * οὕτως Ἀρχίδης. E. Π. « Ἄσπουδος δ' ἀνὴρ σπουδαίου κακίων. » Archidem non magis ego novi quam Mein., proboque ejus conjecturam ὁ μὴ σπουδαρχίδης, sed ita, ut scribatur ὁ μὴ σπουδαῖος ἢ σπουδαρχίδης, et versu interrogative :

Ἄσπουδος δ' ἀνὴρ σπουδαίου κακίων;

qui versus asynartetus est, e dochmio et dactylo dim. hypercat. compositus, ut Vesp. 275. Meinek. σπουδαρχίδου κακίων. Σπουδαῖος in malam partem accipiendum est, nec male verba Ἀσπ.... κακίων, jungantur superioribus fragmenti 27, a, Οὐ γὰρ... ἐκλήγιος. Ar. Acharn. 560 : πολίτης χρηστὸς, οὐ σπουδαρχίδης.

30.

Harpocr. p. 121, 14 : μέμνηνται τῆς ἀρχῆς (λογιστὰς dicit) καὶ οἱ κωμικοί. E. Π.

Ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν.

Non proprie, sed figurate, h. l. dici λογιστὰς, facile intelligitur. « Mihi chorus in parabasi jocose compellare visus est spectatores. » *E M*. Duo codd. ἐπευθυνῶν (sic).

31.

Mœris Attic. p. 202, 30 : * Λάσανον καὶ τοὺς χυτρόποδας, καὶ τοὺς δίφρους, ὡς E. Π.

Ἐμοὶ γὰρ οὐκ ἔστ' οὐδὲ λάσαν' ὅπου χέσω.

Recte Rasp. p. 89 apud Eup. λάσαν' pro λάσανον, et sic etiam in Mœridis verbis legendum esse ostendunt pluralia χυτρόποδας et δίφρους. De α et ου inter se permutatis v. indices Homeri a me editi. Præterea malim ὅποι. « Satis probabiliter Rasp. conjicit, Atheniensium civitatem hic loqui, aviditate exhaustam. » *E M.*

32.

Steph. Byzant. p. 536 : Μαρδόνες (?) Ἠπειρωτικὸν (?) ἔθνος. E. Π.

Καὶ Χαόνων, καὶ Παιόνων, καὶ Μαρδόνων.

Mardones nemo alius commemoravit, falsumque arbitror Stephanum, quum E. dixisset καρδόπων, similiter ille jocatus atque Aristophanes Nub. 653. Huic Meinek. admovit fragm. incert. 91, quod huc pertinere videtur, de *Amyris* Molossorum vicinis.

33.

Pollux 7, 13 : ὃ δὲ οἱ νῦν φασι τοὺς οἰκέτας πρᾶσιν αἰτεῖν, ἔστιν εὑρεῖν ἐν ταῖς Ἀριστοφάνους Ὥραις (fr. 3). ...., ἄντικρυς δὲ ἐν ταῖς E—δος Π.

— Κακὰ τοιάδε
πάσχουσιν, οὐδὲ πρᾶσιν αἰτοῦσιν.

Ita hæc in versus digessit Toup. Emend. 4, p. 370. Poterat suppleto versu posteriore αἰτοῦσ' οἰκέται. Sed Ald. et codd. αἰτῶ. Quare fortasse præferendum quod Bekkerus dedit : Κακὰ τοιάδε πάσχουσα μηδὲ πρᾶσιν αἰτῶ; « De re Plut. De superst. cap. 6 : ἔστι καὶ δούλοις νόμος ἐλευθερίαν ἀπογνοῦσι πρᾶσιν αἰτεῖσθαι, καὶ δεσπότην μεταβάλλειν ἐπιεικέστερον. Cf. Schœmann. De comitiis Ath. p. 403 seq. » *E M.*

34.

Idem 2, 77 : Γράσος εἴρηται ἀλλαχοῦ καὶ ἐν Π. E—δος.

35.

Idem 10, 192 : σκευῶν ἐν E—δος Π. κατάλογος,

— Καρδόπους,
κρατῆρας ὀκτὼ * δὲ χύτρας, δύο τρυβλίω,

28.
Heus tu, Philine, quid hanc respicis?
non abibis in coloniam aliquam?

29.
Et vir incuriosus num pejor est negotioso?

30.
Viri logistæ chororum obnoxiorum.

31.
Nam mihi ne lasanum quidem est, quo cacem.

32.
Et Chaonum, et Pæonum, et Mardonum.

33.
— Mala ejusmodi
patiuntur, nec venditionem postulant (servi).

35.
Crateras octo habiles, duas patellas,
et gnaphalia, et ahenum, sex thronos, ollam,
storeas centum, scopas, cistam, lucernam.

κνέφαλλά τε, καὶ θέρμαστριν, ἓξ θρόνους, χύτραν,
κάννας ἑκατὸν, κόρημα, κιβωτὸν, λύχνον.

« Versu 1 Ald. ed. post χαρδ. habet δὲ, in quo fortasse δέκα latet. » *M.* V. 2 quum abhorreat χύτρας sequente χύτραν, scripserim χρ. ὀκτὼ δ' εὐχερεῖς. Mein. δέκα χύτρας. V. 3 θέρμαστρον ed. pr.; θέρμαυστριν Seberi codex. Bentleius λύραν tentavit pro χύτραν. V. 4 frustra recentiores secundum Voss. codicem κλίνας pro κάννας.

36.

Idem 7, 29 : τάλαρος καὶ ἄλλος καλαθίσκος, Εὐπόλιδος εἰπόντος ἐν Π.

Ἄνευ καλαθίσκων καὶ * πόρων καὶ πηνίων.

Sic optimus cod. Paris. A. Vulgo ἄνευ καλαθίσκου καὶ πήρα καὶ πηνίον. Pro πόρων Meinek. valde probabiliter πόκων.

XV. ΠΡΟΣΠΑΛΤΙΟΙ.

Ad thymeles contentionem i beatus lubenter.

185.
Exhilaratos nos domum dimitte, alium alio.

187.
Fœda quidem res est, neque vellem
esse sortitus : sed quoniam sortitus sum, — nollem.

χειοι Ἑρμαῖ, Ἱππάρχου τοῦ ἀπὸ Πεισιστράτου, εἴρηται ἔν τε τῇ κωμῳδίᾳ, καὶ παρὰ Πλάτωνι ἐν τῷ Ἱππάρχῳ.

192.

Harpocr. p. 119, 13, Λέμβος :... εἶδος νεὼς ὁ λέμβος. πολλάκις δὲ εἴρηται ἐν τῇ κωμῳδίᾳ.

* 193.

Id. p. 143, 24, Πανδαισία : ἔστι μὲν τοὔνομα πολλάκις ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί.

194.

Idem, cod. Marc. apud Bekkerum p. 36, 14 : Ἀργὸς ἐπί τε ἀρσενικοῦ καὶ θηλυκοῦ, ἀττικῶς· καὶ ὁ κωμικὸς

Ἀργοὶ κάθηνταί μοι γυναῖκες τέτταρες.

195.

Joannes Alex. De acc. p. 32, 23 : καὶ τὸ βαὺ κατὰ μίμησιν κυνὸς ὀξύνεται·

Βαὺ βαύ, κυνὸς φωνὴν ἱείς.

Delevi καὶ, quod ante κυνὸς legebatur. In extremo Meinek. correxit codicis ἴεις.

** 196.

Longinus De subl. 38 : καὶ τὰ κωμικὰ, καίτοι γ' εἰς ἀπιστίαν ἐκπίπτοντα, πιθανὰ διὰ τὸ γελοῖον·

Ἀγρὸν ἔσχ' ἐλάττω γῆν ἔχοντ' ἐπιστολῆς
Λακωνικῆς.

Codd. ἔχον γὰρ ἐπιστολῆς, quod correxit Valck. ad Theocriti Adon. p. 256. Eodem loco utitur Strabo 1, p. 36 (37) : εἰσί τινες ὑπερβολαὶ ἐπὶ ὑπερβολαῖς, ὡς τὸ κουφότερον εἶναι φελλοῦ σκιᾶς, δειλότερον δὲ λαγῶ Φρυγὸς, ἐλάττω δ' ἔχειν γῆν τὸν ἀγρὸν ἐπιστολῆς Λακωνικῆς. Quæ omnia ex comicis poetis derivata Mein. suspicatur.

197.

Lucianus Herc. cap 5 : μηδὲ τοῦτο θαυμάσῃς εἰδὼς τῶν ὤτων καὶ γλώττης συγγένειαν· οὐδ' ὕβρις εἰς αὐτὸν, εἰ ταύτῃ τετρύπηται· μέμνηται γοῦν, ἔφη, καὶ κωμικῶν τινων ἰαμβείων, παρ' ὑμῶν μαθὼν,

— Τοῖς γὰρ λάλοισιν ἐξ ἄκρου
ἡ γλῶττα πᾶσίν ἐστι τετρυπημένη.

Vulgatum λάλοις correxit Casaub. ad Theophr. Char. 7. Pro τετρυπημένη Mein. suspicatur διατετρημένη.

198.

Idem Enc. musc. cap. 11 : ἐγένετο δὲ κατὰ τοὺς παλαιοὺς καὶ γυνή τις ὁμώνυμος αὐτῇ (μυίᾳ), ποιήτρια πάνυ καλὴ καὶ σοφή· καὶ ἄλλη, ἑταίρα τῶν Ἀττικῶν ἐπιφανὴς, περὶ ἧς καὶ ὁ κωμικὸς ποιητὴς ἔφη

Ἡ Μυῖα δ' ἔδακνεν αὐτὸν ἄχρι τῆς καρδίας.

Sic Mein.; libri Ἡ Μυῖ' ἔδακνεν.

** 199.

Idem Jove trag. cap. 32 : οὐκοῦν ἄκουσον, ὦ Ζεῦ, μετὰ παρρησίας, ἐγὼ γὰρ, ὡς ὁ κωμικὸς ἔφη,

Ἄγροικός εἰμι, τὴν σκάφην σκάφην λέγων.

** 200.

Idem Alex. 25 : ἐρομένου τινὸς, τί πράττει ἐν ᾅδου ὁ Ἐπίκουρος; ἔφη

Μολυβδίνας ἔχων πέδας ἐν βορβόρῳ κάθηται.

201.

Idem Philop. 22 : ἦν δ' ἐγὼ πρὸς Κράτωνα, μῶν κακῶς πάντα ἐξερρίνισα, ἵν' εἴπω τι κωμικευσάμενος;

202.

Idem Jov. trag. 38, ὥστε, κατὰ τὸν κωμικόν·

Τουτὶ μὲν ὑπομόχθηρον· ἄλλο μοι λέγε.

203. 204.

Michael Syngelus apud Cramerum Anecd. Ox. 4, p. 328 : ἔστι λόγος καὶ ἡ ὑπόθεσις, ὡς ἐπὶ τοῦ

Ἤδη δὲ λέξω τὸν λόγον τοῦ δράματος.

et mox : ἔστι λόγος καὶ ἡ ἀπολογία, ὡς ἐπὶ τοῦ

— Σκῆψις εὑρεθήσεται,
λόγος τις.

194.
Otiosæ mihi sedent quattuor mulieres.

195.
Bau bau, canis vocem emittens.

196.
Agrum habuit minorem, quod terram attinet, epistola Laconica.

197.
— Loquacibus enim in summo
lingua omnibus est perforata.

198.
Myia momordit eum usque ad cor.

199.
Rusticus sum, cymbam cymbam appellans.

200.
Plumbeis pedicis in luto sedet.

202.
Hoc quidem putidiusculum : aliud mihi dic.

203.
Jam vero dicam rationem fabulæ.

204.
— Causa invenietur,
ratio aliqua.

Primo versu ap. Cram. πράγματος, alterum ap. Bekk. Anecd. p. 839. Utrumque fragmentum Menandro tribuebat Schneidewinus Conj. p. 119.

205.

Favorinus p. 230, 7 Dind.: τὸ ἤμην ἐπὶ τοῦ ὑπῆρχον ἀπηγόρευται, λέγεται δὲ ἦν. χρῶνται δέ τινες τούτῳ τῶν νεωτέρων, οἷον,

Ἤμην ποτ', ἤμην τῶν σφριγώντων ἐν λόγοις.

206.

Philemo Lex. p. 119, Σισύρα : χλαίνης εἶδος εὐτελοῦς, οἷον ἐξωμὶς, ἢ ἁπλοΐς, ἤ τι τοιοῦτον. οἷον

Χειμῶνος ὄντος τρεῖς σισύρας ὑφείλετο.

207.

Idem p. 105 : χολὴ χόλος, τιμὴ τῖμος, παρὰ τῇ κωμῳδίᾳ, τὸ τίμημα. Eadem Eustath. p. 563, 27; 1222, 28; 1148, 37.

208.

Philo vol. 2, p. 478 : πάσχουσι γὰρ οὐκ ἐλάττονα ὧν διατιθέασιν, ἅπερ οὐκ ἴσασι παραπαίοντες οἱ τὸν οἶνον οὐχ, ὥς ὁ κωμικός φησιν, ἐπὶ κάκῳ τῶν πλησίον αὐτῶν (Mang. αὐτὸ) μόνον, ἀλλὰ καὶ ἐπὶ τῷ ἰδίῳ πίνειν ὑπομένοντες. Obscura sunt.

* 209.

Philostratus jun. Imagg. 14, p. 134 Jac. : ἤ πού τις καὶ ἀναφθέγξεται μικρὸν ὕστερον ἐπὶ σοὶ

Μουσῶν εὐκόλων ἀνθρήνιον

λέγων. « Videtur hæc antiquæ comœdiæ poeta de Phrynicho vel Sophocle, poetis tragicis, dixisse, quos utrosque apis nomine celebratos esse constat. Welckerus etiam sequentia, καὶ δεδοικέναι τῷ παρεγγυήσει, μή πη λάθῃ τις ἐκπτᾶσα τοῦ σοῦ στόματος μέλιττα, καὶ τὸ κέντρον ἀφυλάκτως ἐγχρίσασα, paululum immutata cum prioribus conjungebat; sed ea mihi ludentis sophistæ acumine quam veteris comœdiæ ingenio digniora videntur. » *Mein.*

210.

Photius, Εὐκλεία : καὶ τὰ ὅμοια· μακρὰ ἡ τελευταία καὶ παροξύνεται· ὥσπερ Ἐρατοσθένης ἐν ιϛ' περὶ (κωμῳδίας).

211.

Idem, Εὐπραξίαν : οἱ παλαιοὶ κωμικοὶ διὰ τοῦ ξ, Θουκυδίδης δὲ διὰ τοῦ γ. Dixit de his formis Lobeckius ad Sophoclis Ajac. 759, a Mein. citatus.

212.

Idem, Ζητεῖν : ἐπὶ τοῦ βούλεσθαι τιθέασιν οἱ Ἀττικοί.

Μηδὲ σὺ ζήτει πυθέσθαι.

Codex τι ante πυθέσθαι, quod recte delet Dobræus.

113.

Idem, Καρδαμάλη : μᾶζα ἐκ καρδάμου μεμαγμένη, βρῶμα γινόμενον Περσικόν. οἱ δὲ παρδαμάλη λέγουσιν, scil. poetæ comici.

214.

Idem, Κέσκος ἦν πόλις ἐν Κιλικίᾳ, καὶ παρ' αὐτὴν ποταμὸς Νοῦς ὄνομα· δι' ὅπερ οἱ κωμικοὶ παίζοντες τοὺς νοῦν οὐκ ἔχοντας Κέσκον φασὶν οὐκ ἔχειν. Plinius H. N. 31, 12 : *in Cilicia apud oppidum Cescum rivus fluit Nus, ex quo bibentium subtiliores sensus fieri M. Varro tradit.* Proverbia Coisl. 143, εἰς Κέσκον : λείπει τὸ ἄπιθι. λέγεται δὲ ἐπὶ τῶν μὴ φρονούντων. Κέσκος γὰρ πόλις ἐστὶ τῆς Πισιδίας, ὡς δὲ ἔνιοι Κιλικίας, παρ' ἣν ῥεῖ ποταμὸς ὄνομα Νοῦς. « Hæc si vera sunt, non intelligitur, quo pacto homines stulti Κέσκον οὐκ ἔχειν dici possint. Itaque apud Photium pro οὐκ ἔχειν fortasse scribendum οἰκεῖν. Cescus enim sita erat παρὰ Νοῦν, unde consequens est, qui Cescum incolunt, eos παρανοεῖν (Pollux 2, 229, Aristoph. Nub. 1482), i. e. παραφρονεῖν, *desipere.* Favet huic conjecturæ Zenob. 4, 51, Κέσκον οἰκεῖν : πόλις Παμφυλίας ἀνοήτων. ὅθεν καὶ παροιμία γέγονε Κέσκον οὐκ ἔχουσα ἐπὶ τῶν νοῦν μὴ ἐχόντων, ubi itidem Κέσκον οἰκοῦσα scripserim, quod comicus de muliere stulta dixisse videtur. Denique Diogenianus 5, 52, Κέσκων (malim Κεσκέων) πόλις : ἐπὶ τῶν ἀνοήτων. οἱ γὰρ ἐν ταύτῃ κατοικοῦντες τῇ πόλει τοιοῦτοι. Itaque triplex proverbii forma erat, Κέσκον οἰκεῖς, Κεσκέων πόλις, εἰς Κέσκον. Quorum quod ultimo loco posui, significat ἄπιθι εἰς Κέσκον καὶ πῖθι ἐκ Νοῦ. Proverbii εἰς Νοῦν ἐλθεῖν exemplum habes in oraculo ap. Œnomaum Euseb. Præp. ev. 5, p. 226, A. » *Mein.*

215.

Idem, Κιλίκιοι τράγοι : ἀντὶ τοῦ δασεῖς. Cod. κιγκιόπραγοι. Correxit Schleusnerus. « Illud comici, incultos et barbatos homines irridentes, dixisse videntur. Macarius in Walzii Arsen. p. 319: Κιλίκιοι τράγοι ἐπὶ τῶν δασυτάτων καὶ θρασυτάτων (hæc fuisse puto, comparativis usurpatis, ut pas-

---

205.
Eram aliquando, eram ex iis qui in verbis superbiunt.
206.
Hiems quum esset, tres lænas furatus est.

209.
Musarum placidarum favus (*Sophocles.*)
212.
Ne tu quære hoc rescire.

sim, pro positivis, δασυτέρων καὶ θρασυτέρων. *Both.*) καὶ ἀγροίκων. Hinc explicandum, quod Cratinus itidem de homine villoso et prolixam barbam alente dixit Κορσάτης κάπρος fragm. inc. fab. 61, a Corsis, Ciliciæ oppido, si Hesychio fides. » *Mein.*

216.

Photius, Λάγνης : οὐ λάγνος ὑπὸ τῶν Ἀττικῶν λέγεται·

Τοιαῦτα μέντοι πόλλ' ἀναγκαίως ἔχει
πάσχειν, ὅταν λάγνην τὸν ὀφθαλμὸν φορῇς.

ἡ δὲ ἀναλογία, οἶμαι, καὶ λάγνητα, ὡς Κράτητα καὶ Μάγνητα.

217.

Idem, Μύλλος : ποιητὴς ἐπὶ μωρίᾳ κωμῳδούμενος. « Quæ, ad *Myllum* spectantia, paullo pinguius enuntiata sunt; neque enim Myllus propter stultitiam ab aliis poetis ridebatur, sed stultitiam simulantis partes in suis ipse fabulis agebat. » *Mein.*

218.

Idem, Μετοίκιον : ... ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι.

219.

Idem, Μύραινα : καταφερής· ἀπὸ τοῦ ζῴου.

Ὦ προδότι, καὶ παραγωγὲ, καὶ μύραινα σύ.

220.

Idem, Μυρών : οἱ Ἀττικοὶ περισπῶσι· καλοῦσι δὲ οὕτως καὶ τὸ ἀμβλὺ βρῶμα καὶ ἄναλον, ὥστε (ὡς τὸ Mein.)

Μήθ' ἁλμυρὸν εἶναι, μήτε μῶρον ἐς τὸ πᾶν.

Idem in glossa Photii pro Μυρών corrigit Μωρόν « quod attice μῶρον dici præter alios tradidit etiam Arcadius p. 69, 13. »

221.

Idem, Ξυήλη : .... οἱ μὲν οὖν Ἀττικοὶ τὸ ῥῆμα (κνῆν) οὕτω λέγουσιν, κἄπικνῆν κἄπεσθίειν. « V. Piersonum ad Mœr. p. 234. Pertinet huc quod Pollux tradit 7, 196 : ἔθος ἦν ἐπερωτᾶν πότερα κνῆν ἢ ἐπεσθίειν; quorum alterum de caseo rasili, alterum de caseo integro cum pane edendo dicebatur. » *Mein.*

222.

Idem :

Οὐκ ἂν φθανοίμην τὴν μάχαιραν παρακονῶν.

Excidit explicatio. Nobis scribendum videtur φθάνοι μήν.

223.

Idem, Οὐράνιον παιδιάν : ὅταν τὴν σφαῖραν εἰς τὸν οὐρανὸν ἀναβάλλωσιν.

224.

Idem, Ὀρχήστρα : πρῶτον ἐκλήθη ἐν τῇ ἀγορᾷ, εἶτα καὶ τοῦ θεάτρου τὸ κάτω ἡμικύκλιον, οὗ καὶ οἱ χοροὶ ᾖδον, καὶ ὠρχοῦντο εἰς τὴν ὀρχήστραν· ἔτι γὰρ τὴν θέαν ᾤκειτ' ἐκεῖ, φησὶν ὁ κωμικός. « Dobræus recte ᾠκεῖτ'. Verba εἰς τὴν ὀρχήστραν, i. e. ἐν τῇ ὀρχήστρᾳ, cum præcedentibus καὶ ὠρχοῦντο conjungenda videntur. Certe poetæ non sunt nisi hæc ἔτι γὰρ τὴν θέαν ᾠκεῖτ' ἐκεῖ, *adhuc enim* (sc. antiquis temporibus, de quibus dixerat comicus) *illic* (in foro) *theatrum incolebatis*, i. e. ludos scenicos spectabatis. » *Mein.*

225.

Idem p. 383, 16 : Παρασαβάζειν : παραμαίνεσθαι, ἀπὸ τοῦ σαβοῦ. τοὺς γὰρ παρὰ τῷ Σαβαζίῳ βακχεύοντας καλοῦσι σαβούς.

226.

Idem, Πεζῇ τὸ τοῖς ποσὶν ἐλθεῖν λέγουσι, καὶ πεζῇ (« addendum videtur βαδίζειν aut πορεύεσθαι. » *Mein.*) φράσαι τὸ ἄνευ μελῶν·

Παῦσαι μελῳδοῦσ', ἀλλὰ πεζῇ μοι φράσον,

ὁ κωμικός. τὰς ἑταίρας τὰς μὴ μουσικὰς, ἀλλ' ἄνευ ὀργάνων καὶ ψιλὰς, πεζὰς καλοῦσιν. Cod. μὲν ᾠδοὺς, quod correxit Porsonus. Conf. Aristoph. Av. 1382 (1278).

227.

Idem, Πλευμονίαν νόσον : τὴν ἐρωτικήν. Eadem Hesychius. « Pulmonem amoris sedem habes apud Sophoclem Stobæi Flor. 63, 6. » *Mein.*

228.

Idem :

216.

Talia sane multa necesse est
pati, si lascivum oculum habes.

219.

O tu, proditrix, et seductrix, et muræna!

220.

Nec salsum esse, nec fatuum omnino.

222.

Non vero machæram simul acuere omittet.

226.

Desine cantare, sed prosaice mihi dic.

227.

Pulmoneum morbum.

Ῥᾷον ἤ τις τοὺς ὀδόντας ἠρίθμησ' ἢ δακτύλους.

Trochaicum tetrametrum restituit Meinek. Codex ἠρίθμησεν ἢ τοὺς δ. Præterea legebatur Ῥᾷον ἄν τις, quod et ipsum, ut feci, corrigendum erat.

230.

Photius, Σοβαρός: λαμπρὸς, ἐπαιρόμενος, τολμηρὸς, αὐθάδης, ἔξω τοῦ δέοντος φερόμενος. ... χρῶνται δὲ τῇ λέξει ταύτῃ συνήθως οἱ κυνικοί (sic).

231.

Idem, Τἄλλα καὶ φιλώμεθα: λεγόμενόν τι, οἷον τἄλλα καὶ φίλοι ὦμεν. Habet etiam Phrynichus Bekk. p. 65.

232.

Idem, Ταντάλου τάλαντα: ... κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν γ'. γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα· ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται

Τὰ Ταντάλου τάλαντα ταντολίζεται.

233.

Idem, Τρύχνον: τὴν πόαν θηλυκῶς λέγουσι τὴν τρύχνον. ... καὶ παρὰ τὴν παροιμίαν τὴν ἁπαλώτερος τρύχνου, ἣν παρῳδῶν ὁ κωμικός φησιν

Ἤδη γάρ εἰμι μουσικώτερος τρύχνου.

Obscura.

234.

Idem, Τρώκτης: ἀποστερητὴς καὶ ἀπατεὼν, οἷον ἐπιτρώγων·

Τρώκτης σφόδρ' ἐστὶν, ἅμα σεσηρὼς καὶ γελῶν.

* 235.

Idem, Ὕψου διάττει: ἐν ὕψει ὁρμᾷ καὶ τρέχει.

* 236.

Idem, Φαρυγίνδην: ὡς ἀριστίνδην, σκώπτοντες τὴν γαστριμαργίαν τῶν χορευτῶν, Ἀττικοὶ λέγουσιν. Eadem Etymol. M. p. 788, 38.

237.

Phrynichus Bekk. p. 3, 18:

Ἀκράχολον καὶ δύσκολόν (τι) φθέγγεται.

πανταχοῦ χρήσῃ. Sic Bergkius Comm. p. 305. Codex sine τι et Ἀκρόχ.

238.

Ibid. 22:

Αἰσχυνόμενος (δὲ) περιπλέκει τὴν συμφοράν.

ἐν (leg. ἐπὶ) συνουσίᾳ χρῶ. Meinek. addidit δέ. Συμφορὰν dixit scortum, quemadmodum fuerunt inter nos, qui pro *Freudenmædchen* (*fille de joie*) dicerent *Jammermædchen*.

* 239.

Idem p. 4 init., Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις: ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαρρεόντων. Scribo

Θερμολουσίαισιν ἁπαλοὶ, μαλθακευνίαις (θ') ἁβροί.

Troch. tetr. versus, usitatissimus in hoc genere. Meinek. servato Θερμολουσίαις, eupolideum ponebat.

240.

Idem p. 4, 4:

Ἀνόητά γ', εἰ τοῦτ' ἦλθες ἐπιτάξων ἐμοί.

ἀντὶ ἀνόητος εἶ, ἐπιτάττων τοῦτο. ἀττικὸν γὰρ τὸ λέγειν ἀνόητα, εἰ τοῦτ' ἐπιτάξεις.

* 241.

Idem ib. 15, Ἄπλυτον πώγωνα: εἰ θέλοις ἀνεπαχθῶς σκῶψαί τινα πωγωνίαν.

242.

Idem ib. 16:

Αὐτὸ τοὔμπαλιν λέγεις.

οἷον αὐτὸ τοὐναντίον λέγεις.

243.

Idem ib. 20:

228.

Facilius fecit quam quis dentes suos numeravit vel [digitos.

232.

Tantali talenta tantalice pendit.

233.

Jam enim sum elegantior (?) trychno.

234.

Cupes nimius est, simul ringens et ridens.

237.

Iracundum ac morosum quiddam loquitur.

238.

Pudensque amplectitur calamitatem.

239.

Calidis balneis utentes teneri, mollibusque in lectis [eleganter jacentes.

240.

Insanum quidem, si hoc imperaturus mihi venisti.

241.

Illotam barbam.

242.

Eandem rem iterum dicis.

Ἀνεβόησεν οὐράνιον ὅσον.

σημαίνει τὸ ὑπερβεβηκὸς καὶ μέχρι τοῦ οὐρανοῦ ἦχον.

244.

Photius p. 6, 5, Ἀνασπᾶν γνωμίδιον: κωμῳδικῶς εἴρηται, οἷον ἐκ βυθοῦ διανοίας ἄγειν.

* 245

Idem p. 8, 27:

Αὐτόκακον ἔοικε τῷδε.

ἄκρως καὶ καθ' ὑπερβολὴν ἔοικε τῷδε, ὡς εἰ λέγοι τις, αὐτῷ ἄκρως ἔοικε. τὸ δὲ κακὸν πρόσκειται, δηλοῦν τὴν ὑπερβολήν. « Cf. alium grammaticum Bekk. p. 465, 11. « *Mein.*

246.

Idem p. 9, 3:

Ἀστεῖον εἰπεῖν καὶ κατερρινημένον·

σημαίνει τὸ κατερρινημένον τὸ οὕτω λεπτῶς καὶ ἄκρως διειργασμένον, ὡς μηδὲ * διαιρεῖσθαι ἐπιτήδειον εἶναι. In fine legebatur εἰπεῖν, quod transposuit Meinek. Idem p. 453, 33, Ἀστεῖόν τι καὶ κατερρινημένον: κωμικὴ ἡ συμπλοκή.

247.

Ibid. 31, Ἀγαθῶν ἀγαθῖδες: ... χρῶνται ἐπὶ πολλῶν ἀγαθῶν. Pollux 7, 31: παροιμία ἀγαθῶν ἀγαθῖδες, ᾗ πλείστῃ κέχρηνται οἱ κωμικοί.

248.

Idem p. 11, 29, Ἀνδρόγυνον ἄθυρμα: εἰ θέλοις γύνιν τινὰ σκῶψαι, χρήσαιο ἄν.

249.

Idem p. 12, 15, Ἀνασκυζᾶν καὶ σκυζᾶν: σκυζᾶν μέν ἐστι τὸ πρὸς τὸ πάσχειν ὁρμᾶν, καὶ τίθεται ἐπὶ τῶν νεωτέρων ἢ παίδων ἢ γυναικῶν· τὸ δὲ ἀνασκυζᾶν σημαίνει μὲν τὸ αὐτό, τίθεται δὲ ἐπὶ τῶν πρεσβυτέρων. πρόσκειται δὲ τὸ ἀνά, σημαῖνον τὴν ἐξ ὑπαρχῆς ἐν γήρᾳ πρὸς τὸ πάσχειν ὁρμήν.

250.

Idem p. 16, 24, Αὐτὰ καὶ τὰ φίλτατα: ἐπὶ τῶν φιλτάτων θήσεις. ... παροιμία ἐστίν. ἡ φράσις Ἀττική.

251.

Idem p. 17, 20:

Ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον.

ἀντὶ τοῦ δειλόν. Improbat hunc usum Pollux 3, 136.

252.

Idem p. 21, 12, Ἀνδρεράστρια γυνή: ἡ ἐπιμαινομένη ἀνδράσιν, ἡ ἐρῶσα ἄλλου καὶ ἄλλου.

253.

Idem p. 22, 23, Αἴτνη ἄνθρωπος: εἴ τις βούλοιτο ἀποσκῶψαί τινα εἰς πολυφαγίαν καὶ ἀπληστίαν καὶ ἀδηφαγίαν.

254

Id. 24, 32, Ἁμαξιαῖα χρήματα: μεγάλα, ἃ φέροι ἂν ἅμαξα, οὐκ ἄνθρωπος ἢ ὑποζύγιον. « Hinc explicandum, quod et ipsum comicum sapit apud Diogenianum 3, 41, Ἁμαξιαῖα ῥήματα: μεγάλα κομπάσματα. » *Mein.*

255.

Id. p. 25, 15, Ἀπωλεσίοικον μειράκιον: τὸ ἀκόλαστον καὶ ἀπολλύον δι' ἀσωτίαν τὸν ἴδιον οἶκον.

256.

Idem ib. Ἁρπαξομίλης: ὁ ἁρπάζων τὰς ἀφροδισίους ὁμιλίας, καὶ ῥᾳδίως διακορὴς γινόμενος.

257.

Ibid. 29, Ἀνταποπαίζειν: ὅταν τις, παίζων ἀστραγάλοις, ἢ ψήφοις, ἢ καρύοις, ἢ κυβεύων, ἐπ' ἀργυρίῳ, νικήσῃ, εἶτ' αὖθις νικᾶται ἃ ἐνίκησεν.

258.

Idem p. 30, 10, Βουλιμιᾷ τὰ βαλλάντια: κατὰ μεταφορὰν ἐπὶ τῶν μηδὲν ἐχόντων ἔνδον βαλαντίων.

259.

Idem p. 33, 12, Γέρων στύππινος: ἤτοι λευκὸς καὶ πολιός, ἐπειδὴ τὰ στύππινα λευκά ἐστι. ἢ τὸν ἀσθενῆ δηλοῖ, ἐπειδὴ ἀσθενέστερά ἐστι τὰ στύππινα τῶν λινῶν.

260.

Idem p. 34, 29, Δειπνοπίθηκος: ὁ δείπνου ἕνεκα πιθηκίζων, καὶ ὑποθωπεύων κόλακος τρόπον.

261.

Idem p. 35, 4, Δικομήτρα: οἷον μήτηρ καὶ γεννήτρια δικῶν καὶ συκοφαντιῶν.

262.

Ibid. 28, Δικολύμης ἄνθρωπος: ὁ ἐν ταῖς δίκαις λυμαινόμενος, ὁ συκοφάντης.

243.

Exclamavit ita ut cœlum usque sonaret.

245.

Nimium male huic similis est.

246.

Urbanum quiddam et expolitum dicere.

251.

Exanimatum virum itineris socium sumere.

263.

Photius p. 38, 7 :

Ἐλαφρὸν παραινεῖν τῷ κακῶς πεπραγότι.

ἐλαφρὸν σημαίνει τὸ ῥᾴδιον καὶ κοῦφον.

264.

Idem p. 39, 5, Ἐρρωγότας λέγειν λόγους : οἷον ἀηδεῖς καὶ ἀπᾴδοντας, οὐχ ἁρμονίους. ἡ μεταφορὰ ἀπὸ τῶν ἐξερρωγότων ὀργάνων· καὶ γὰρ ταῦτα ἀνάρμοστον καὶ ἀηδὲς φθέγγονται.

265.

Ibid. 12, Ἐνσεσεισμένη : ἡ προήκουσα τῇ ἡλικίᾳ, καὶ ὑπὸ χρόνου διασεσεισμένη, καὶ μηκέτι σφριγῶσα, μηδὲ ἰσχύουσα, ἀλλὰ σαθρὰ οὖσα. De vetula dictum.

* 266.

Ibid. 19, Ἐπικαττύειν καὶ πτερνίζειν : τὰ παλαιὰ ἐπισκευάζειν. ... λέγουσι δὲ ἐπὶ τῶν τὰ παλαιὰ τῶν δραμάτων μεταποιούντων καὶ μεταραπτόντων.

267.

Idem p. 46, 8, Κατὰ κοιλίαν νοσεῖ : ἐπὶ τῶν πολυφάγων.

268.

Idem p. 47, 15, Κυψέλαι φρονημάτων : οἷον θῆκαι φρονήσεως· κυψέλη γὰρ ἀγγεῖον εἰς ἀπόθεσιν πυρῶν. « Ita per jocum poeta homines, qui sibi præ aliis sapere videbantur, dixerat. » *Mein.*

269.

Idem p. 49, 5, Κλῳομάστιξ : ὁ κλοιῷ δεδεμένος, καὶ μαστιγούμενος. — Ibid. 6, Κάμινον ἔχων ἐν τῷ πνεύμονι : ἐπὶ γυναικὸς μεθύσου. « Poeta dixerit ἔχει κάμινον etc. » *Mein.* — Ibidem 12, Κρανιόλειος : ὁ τὸ κρανίον ἔχων λεῖον, ὁ φαλακρός. — Ibid. 13, Κνισοτηρητής : ὁ κνῖσαν καὶ δεῖπνα ἐπιτηρῶν. De parasito.

270.

Idem p. 50, 3, Λιμοκόλακες : οἱ διὰ λιμὸν κολακεύοντές τινα. — Idem p. 51, 20, Μονογέρων : τὸν μονότροπον καὶ δύσκολον γέροντα σημαίνει.

271.

Idem p. 51, 22, Μεθυσοχάρυβδις : ἐπὶ γυναικὸς μεθύσου, οὐκ ἐπ' ἄρρενος. — Idem p. 53, 14, Ὀνυχιμαῖα τέμνειν : ἀντὶ τοῦ μικρά. — Ibid. 21,

Οὐδὲν κακὸν γὰρ ῥᾳδίως ἀπόλλυται.

ἐπὶ τῶν εὖ πραττόντων πονηρῶν. Probabiliter particulam γὰρ inseruit Meinek.

272.

Idem p. 54, 28, Ὀνόγαστρις ἄνθρωπος : ἐπὶ τῶν ἄρρυθμον καὶ μεγάλην γαστέρα ἐχόντων. — Idem p. 56, 26, Οὐκ ἀπείρῳ προσέβαλεν· ἐπὶ τῶν οἰομένων ἐξαπατήσειν, φωραθέντων δέ. — Ibid. 33, Οὐδὲ εἰς τὸν ὀδόντα ἔχει φαγεῖν : ἐπὶ τῶν μηδὲ σμικρότατα ἐχόντων φαγεῖν.

273.

Idem p. 58, 9, Πολύζωον κακόν : ἐπὶ πάνυ γηραιοῦ εἴποις ἄν. — Ibid. 32, Ποντοφάρυξ : εἴ τις βούλοιτο σκώπτειν τινὰ ἄπληστον καὶ φάγον. Scripserim Παντοφάρυξ, ut παντοφάγος.

274.

Idem p. 59, 18, Προβῦσαι φορτικὸν γέλωτα : ἀντὶ τοῦ προβαλεῖν. ἡ μεταφορὰ ἀπὸ τῶν τοὺς λύχνους προβυόντων (?) ... τίθεται δὲ ἐπὶ τῶν μηδὲν σεμνὸν ἐχόντων, ἀεὶ δὲ διὰ τοῦ γελωτοποιεῖν θηρωμένων τι.

275.

Idem ib. 26, Πυθμὴν δικῶν : οἷον ῥίζα δικῶν, φιλόδικος. — Idem p. 60, 25, Περικεκρουμένος ἄνθρωπος : ὁ οὐχ ὁλόκληρος. ἡ μεταφορὰ ἀπὸ τῶν ἀγγείων τῶν ὑπὸ χρόνου περικεκρουμένων.

276.

Idem p. 61, 1, Ποντοχύχη γυνή : ἡ οὕτω πανοῦργος, ὡς καὶ τὴν θάλατταν κυκᾶν· ὡς πηξιθάλαττα ἡ τὴν θάλασσαν πῆξαι δυναμένη. « Priori simillimum est, quod Arcadius p. 101, 29, servavit παντογχύνη (παντοχύχη), ἡ ταραχώδης γυνή. » *Mein.*

277.

Idem ib. 25, Ῥινώλεθρος ὀσμή : ἐπὶ δυσώδους ἐρεῖς. — Ibid. 29, Ῥιγεσίβιοι : ἐπὶ τῶν πτωχῶν καὶ γυμνῶν, προσποιουμένων δ' ἀσκεῖν τὸ σῶμα. — Idem p. 63, 10, Σοροδαίμων : δηλοῖ δὲ ὁ ἄξιος ἐν σορῷ δαίμων εἶναι δι' ὑπερβολὴν γήρως.

278.

Idem p. 64, 28, Τρυπαλώπηξ : ὁ διὰ πανουργίαν πάντα τρυπῶν (malim τρυπᾶν) καὶ ἐργάζεσθαι δυνάμενος. — Idem p. 65, 6, Τραχηλόσιμος ἄνθρωπος : ὁ βραχὺν τὸν τράχηλον ἔχων.

279.

Idem p. 66, 3, Τιλλοπώγων : ὁ τὸν ἑαυτοῦ ἀποτίλλων πώγωνα. — Idem p. 68, 30, Ὑποσα-

---

263.
Facile est admonere infelicem.

271.
Nihil (enim) quod malum est, facile eradicatur.

κίζεται τὰ χρήματα : ἀντὶ τοῦ ὑπαναλίσκεται, ὑποκενοῦται.

280.

Photius p. 72, 23, Χωρὶς οἰκοῦσιν : οἷον διεστήκασιν.

Χωρὶς γὰρ οἰκοῦσ' ἀρεταὶ τῶν ἡδονῶν.

« Codex οἰκοῦσιν ἀρ. Nisi is tragici poetæ versus est. » *Mein.* — Ibid. 26, Χελυνοίδης : ὁ τὴν χελύνην μεγάλην ἔχων. ὅμοιον τὸ πεοίδης.

* 281.

Plutarchus De aud. poet. p. 27, C : τὸν κωμῳδούμενον ὑπερβάλλει μαστροπείᾳ Πολίαγρον.

— Εὐδαίμων Πολίαγρος,
Οὐράνιον αἶγα πλουτοφόρον τρέφων.

« Commode Boissonadus ad Tiberium rhet. p. 41 affert Alciphronem 3, 62 : εἰ μὴ Πολιάγρου τοῦ κυρτοῦ κακώτερός ἐστι τοιαῦτα Λυσικλῆς· ἐκεῖνος γὰρ, λύτρα παρὰ τῶν μοιχῶν ἐπὶ τῇ γαμετῇ πραττόμενος, ἀθῴους τῆς τιμωρίας ἠφίει, et Ælianum V. 5, 8 : Σωκράτης μὲν οὖν κωμῳδούμενος ἐγέλα, Πολίαγρος δὲ ἀπήγξατο. » *Mein.* Quum αἶξ meretricem significet, οὐράνιον ambigue dictum videri potest, respectu ad οὐρὰν, *caudam* salacem (Horat. Serm. 1, 2, 45).

** 282.

Idem ib. p. 18, A :

Τάλαντον ἡ προίξ· μὴ λάβω ; ζῆν δ' ἔστι μοι
τάλαντον ὑπεριδόντι ; τεύξομαι δ' ὕπνου
προέμενος ; οὐ δώσω δὲ κἀν ᾅδου δίκην,
ὡς ἠσεβηκὼς εἰς τάλαντον ἀργυροῦν ;

μοχθηροὶ μέν εἰσι λόγοι καὶ ψευδεῖς ... καὶ τοκογλύφῳ πρεσβύτῃ πρέποντες. Versu 4 Mein. malit ἀργύρου.

283.

Idem ib. p. 18, B : οὕτως ὁ νέος ἀναγινώσκων ἃ Θερσίτης ὁ γελωτοποιὸς, ἢ Σίσυφος ὁ φθορεὺς, ἢ Βάτραχος ὁ πορνοβοσκὸς, λέγων ἢ πράττων πεποίηται, διδασκέσθω τὴν μιμουμένην ταῦτα δύναμιν καὶ τέχνην ἐπαινεῖν, ἃς δὲ μιμεῖται διαθέσεις καὶ πράξεις, προβάλλεσθαι καὶ κακίζειν. « Probabile est Batrachum fuisse lenonis nomen apud Menandrum. » *Mein.*

284.

Plutarchus De adul. et am. p. 51, E : ἀρχὴν φιλίας ἔφαμεν εἶναι ... ὁμοιοπαθῆ διάθεσίν τε καὶ φύσιν, ἐφ' οἷς καὶ ταῦτα εἴρηται,

Γέρων γέροντι γλῶτταν ἡδίστην ἔχει,
παῖς παιδὶ, καὶ γυναικὶ πρόσφορον γυνὴ,
νοσῶν τ' ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ
ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ.

Ad v. 2 Meinek. comparat Eurip. Hel. 830 : σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή.

** 285.

Idem ibid. p. 62, E : οὐ μὴν ἀλλὰ δεῖ πρῶτον ἐν ταῖς ἐπαγγελίαις σκοπεῖν τὴν διαφοράν. εὖ γὰρ εἴρηται καὶ τοῖς πρὸ ἡμῶν φίλου μὲν ἐκείνην εἶναι τὴν ἐπαγγελίαν, Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί· κόλακος δὲ ταύτην, Αὔδα, ὅ τι φρονέεις. Καὶ γὰρ οἱ κωμικοὶ τοιούτους εἰσάγουσιν·

Ἐμὲ, Νικόμαχε, πρὸς τὸν στρατιώτην τάξατε,
ἂν μὴ ποιήσω πέπονα μαστιγῶν ὅλον,
ἂν μὴ ποιήσω σπογγίας μαλακώτερον
τὸ πρόσωπον.

« Menandri hos versus esse vix dubites. Monuit etiam Wyttenbachius, e Colace ductos statuens, coll. Terentio Eun. 4, 6 et 7, Luciano Dial. meretr. 9, et Plauto M. Gl. 5, 31. » *Mein.* Versu 1 intellige μισθοφόρον, non liberum, nec civem. Apollodorus Com. Παιδίῳ, Stob. Flor. 53, 7 : Ταχύ γε στρατιώτης γέγονας ἀντ' ἐλευθέρου.

** 286.

Idem De virt. et vit. p. 100, F : καὶ γὰρ ὁ καθεύδουσι τοῦ σώματος ὕπνος ἐστὶ καὶ ἀνάπαυσις, τῆς

280.

Seorsum enim a voluptatibus habitant virtutes.

* 281.

— Beatus est Poliagrus,
cœlestem capram, divitias afferentem, alens.

282.

Talentum est dos; non sumam? At est, quo vivam,
talentum negligens? somnumque inveniam
hoc neglecto? neque in ipso Orco pœnam dabo
impietatis in talentum argenteum?

284.

Senex seni gratissimam linguam habet,
puer puero, et mulieri convenit mulier,
virque ægrotus ægroto, et calamitatem
qui cepit, eam experienti accinit.

285.

Me quidem, Nicomache, juxta militem statuite,
nisi peponem fecero hunc totum flagellando,
nisi spongia molliorem fecero
vultum.

δὲ ψυχῆς πτοῖαι καὶ ὄνειροι καὶ ταραχαὶ διὰ δεισιδαιμονίαν.

Ὅταν δὲ νυστάζοντά μ' ἡ λύπη λάβῃ,
ἀπόλλυμ' ὑπὸ τῶν ἐνυπνίων,

φησί τις.

** 287.

Plut. Consol. Apoll. p. 110, E : θέασαι οἷα περὶ τούτου φησὶ τῶν κωμικῶν τις πρὸς τὸν ἐπὶ τῷ ἀώρῳ λυπούμενον θανάτῳ·

Εἶτ', εἰ μὲν εἰδείης, ὅτι τοῦτον τὸν βίον,
ὃν οὐκ ἐβίωσε, ζῶν διευτύχησεν ἄν,
ὁ θάνατος οὐκ εὔκαιρος· εἰ δ' ἤνεγκεν ἂν,
οὗτος ὁ βίος τι τῶν ἀνηκέστων, ἴσως
(ὁ θάνατος) αὐτὸς σοῦ γέγονεν εὐνούστερος.

V. 1 Meinek. εἰδείης pro ᾔδεις. Reisigius malebat τοσοῦτον pro τοῦτον. V. 4 malim αὐτὸς pro οὗτος. V. 5 additum ὁ θάν. a Meinek. Deinde malim τοῦ (i. e. τούτου) pro σοῦ.

** 288.

Idem Præc. sanit. p. 126, A : ὀψοποιῶν δὲ τέχναι καὶ δημιουργῶν καὶ

Τὰ πανοῦργα ταῦτ' ὀψάρια χὐποτρίμματα,

κατὰ τὸν κωμικὸν, ἀεὶ τοὺς ὅρους τῆς ἡδονῆς μετατίθησιν εἰς τοὔμπροσθεν. « Scripsi χὐποτρίμματα pro καὶ ὑπ., quæ crasis in rarioribus est. Aristoph. Vesp. 612, χὐπηρεσίαν. Theodectes apud Stob. Ecl. phys. 1, p. 226, χὐπὸ χεῖρα. Eurip. Iphig. Aul. 1368, χὐπέρ, etc. Novæ comœdiæ adscripsi propter vocem ὀψάριον. » *Mein.*

** 289.

Idem De superst. p. 166, B : ἀλλ' ὅ γε κωμικὸς οὐκ ἀηδῶς εἴρηκέ που πρὸς τοὺς καταχρυσοῦντας τὰ κλινίδια καὶ καταργυροῦντας,

Ὅ τι προῖκα μόνον ἔδωκαν ἡμῖν οἱ θεοὶ,
τὸν ὕπ ιον, τί τοῦτο πολυτελὲς σαυτῷ ποιεῖς;

Sic Meinek. Libri ὅτι μόνον ἔδ. ἡμῖν οἱ θ. προῖκα τὸν ὕπνον, τί καὶ τοῦτο π. σεαυτῷ π.

** 290.

Plut. De virt. mor. p. 446, A : οὐχ ἧττον δὲ τούτων ὁ εἰπὼν

Ἔα μ' ἀπολέσθαι· τοῦτο γάρ μοι συμφέρει.

τὴν κρίσιν ἔχει τῷ πάθει συναινοῦσαν.

291.

Idem De animi tranquill. p. 469, B : καίτοι τὸ πρὸς τὸν πολυπράγμονα λελεγμένον οὐκ ἀηδῶς δεῦρ' ἔστι μετενεγκεῖν,

Τί τἀλλότριον, ἄνθρωπε βασκανώτατε,
κακὸν ὀξυδορκεῖς, τὸ δ' ἴδιον παραβλέπεις;

« Idem locus est apud Plutarchum De curios. p. 515, D. Cf. Horatius Serm. 1, 3, 25 : *quum tua prævideas oculis male lippus inunctis, cur in amicorum vitiis tam cernis acutum?* » *Mein.*

292.

Idem De ira cohib. p. 461, B : μεῖζον οὐδὲν εὐκολίας καὶ ἀφελείας ἐφόδιον εἰς πραότητα πρὸς οἰκέτας καὶ φίλους, τῷ δυναμένῳ συμφέρεσθαι τοῖς παροῦσι, καὶ μὴ δεομένῳ πολλῶν καὶ περιττῶν·

Ὁ δ' οὔτ' ἄγαν ὀπτοῖσιν, οὔθ' ἑφθοῖς ἄγαν,
οὔθ' ἧττον, οὔτε μᾶλλον, οὔτε διὰ μέσου,
ἠρτυμένοις ἔχαιρ' ἂν, ὥστ' ἐπαινέσαι.

V. 3 Meinek. ἠρτυμένοις ἔχαιρεν, verosimilius ego ἔχαιρ' ἄν. Libri ἠρτυμένοισι χαίρων.

** 293.

Idem De garrul. p. 513, F : οὕτω καὶ τοῖς ἐρωτικοῖς ἡ πλείστη διατριβὴ περὶ λόγους μνήμην τινὰ τῶν ἐρωμένων ἀναδιδόντας, οἵ γε κἂν μὴ πρὸς ἀνθρώπους, πρὸς ἄψυχα περὶ αὐτῶν διαλέγονται·

Ὦ φιλτάτη κλίνη!

καὶ

Βακχὶς θεόν σ' ἐνόμισεν, εὐδαῖμον λύχνε!
κεἶ τῶν θεῶν μέγιστος, εἰ ταύτῃ δοκεῖς.

286.

Quum autem dormiscentem me occupat ærumna,
pereo somniis.

287.

Tum, si quidem scias, eum hanc vitam,
quam non vixit, feliciter pervicturum fuisse,
mors haud tempestiva : quodsi
eadem vita aliquid insanabilium attulisset, fortasse
hac mors ipsa fuisset benevolentior.

288.

Fraudulenta hæc opsonia et intrimenta.

289.

Quod solum gratis dederunt nobis dii,
somnum, cur hoc sumptuosum tibimet reddis?

290.

Sine me perdi : hoc enim mihi convenit.

291.

Quid alienum malum, homo maledicentissime,
acute cernis, proprium autem non vides?

292.

Ille autem nimis neque assis, neque coctis,
nec minus, nec magis, nec mediocriter,
apparatis nimis gaudebat ita, ut ea laudaret.

293.

O gratissime lectus! —
Bacchis te deum putavit, beatum lumen!
esque deorum maximus, si huic videris.

« Imitatus est Asclepiades Epigr. 25 : λύχνε, σὺ δ' εἰ θεὸς εἶ, τὴν δολίην ἐπάμυνον. » *Mein.* Versu 3 Dübnerus recte pro καὶ τῶν edidit κεἶ τῶν.

294.

Plut. De cupid. divit. p. 523, C : ἀλλ' ἔστιν εἰπεῖν πρὸς τὸν πλοῦτον, ὡς πρὸς ἰατρὸν ἀλαζόνα,

Τὸ φάρμακόν σου τὴν νόσον μείζω ποιεῖ.

295. a.

Idem ibid. p. 527, B : ὡς γὰρ Ἀγάθων τὸν αὐλὸν ἀπέπεμψεν ἐκ τοῦ συμποσίου πρὸς τὰς γυναῖκας... οὕτως ἀποπέμψειας ἂν καὶ

Στρωμνὰς ἁλουργοὺς, καὶ τραπέζας πολυτελεῖς.

295. b.

Idem De exsilio p. 600, B : ὥσπερ ἐν κωμῳδίᾳ τις ἠτυχηκότα φίλον θαρρεῖν καὶ τύχην ἀμύνεσθαι παρακαλῶν, ἐρομένου « τίνα τρόπον »; ἀποκρίνεται « φιλοσόφως », οὕτω καὶ ἡμεῖς αὐτὴν ἀμυνώμεθα φιλοσοφοῦντες ἀξίως·

Τὸν Δία δὲ πῶς ὕοντα; τὸν βορέαν δὲ πῶς;

πῦρ ζητοῦμεν, βαλανεῖον, ἱμάτιον, στέγην· καὶ γὰρ οὐχ ὑόμενοι καθήμεθα, οὐδὲ κλαίομεν. « Forsan etiam hæc postrema ex poeta comico ducta sunt. » *Mein.*

295. c.

Idem ib. p. 602, B : ὅπου (in Seripho insula) φησὶν ὁ κωμικὸς τὰ σῦκα ταῖς σφενδόναις τρυγᾶσθαι, καὶ πάντα ἔχειν, ὅσων δεῖ, τὴν νῆσον. « Fortasse hæc ad Seriphios Cratini referenda sunt. » *Mein.*

296. a.

Idem ib. p. 602, D : αἱρήσεται καὶ νῆσον οἰκεῖν φυγὰς γενόμενος, Γύαρον, ἢ Κίναρον,

Σκληρὰν, ἄκαρπον καὶ φυτεύεσθαι κακήν.

« Fortasse tragici poetæ versus est; sin comici est, ex Eupolidis Civitatibus derivatum putem. » *Mein.*

** 296. b.

Idem Symp. p. 676, C : καὶ τοῦτό ἐστι μὲν ἐν τῇ κωμῳδίᾳ φιλαργύρου τινὸς ἀκοῦσαι λέγοντος,

Τὸ δ' Ἴσθμι' ἀποδοίμην ἂν ἡδέως ὅσου
ὁ τῶν σελίνων στέφανός ἐστιν ὤνιος.

297. 298.

Idem Erot. p. 769, B : ἀλλὰ πολλὰ φαῦλα καὶ μανικὰ τῶν γυναικείων ἐρώτων; τί δέ; οὐχὶ πλείονα τῶν παιδικῶν;

Οἰκειότητα δ' ἐμβλέπων ὠλίσθανον·
ἀγένειος, ἁπαλὸς, καὶ νεανίας καλός. —
Ἐμφύντ' ἀποθανεῖν, κἀπιγράμματος τυχεῖν.

V. 1 δ' addidit Mein. Versu 2 malim καὶ καλὸς νεανίας. Oratio hæc videtur esse mariti familiaritate uxoris cum venusto juvene perterriti. V. 3 Meinekio infinitivi pendere videntur a verbis εἴ μοι γένοιτο vel similibus omissis.

299. 300.

Idem An seni sit adm. resp. p. 789, A : ὁ γαμεῖν παρασκευαζόμενον γέροντα ἐστεφανωμένον καὶ μυριζόμενον ἀποτρέπων, καὶ λέγων τὰ πρὸς τὸν Φιλοκτήτην,

Τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα
δέξαιτ' ἄν; εὖ γ' οὖν ὡς γαμεῖν ἔχεις τάλας.

οὐκ ἄτοπός ἐστι· καὶ γὰρ αὐτοὶ πολλὰ τοιαῦτα παίζουσιν εἰς ἑαυτοὺς,

Γαμῶ γέρων, εὖ οἶδα, καὶ τοῖς γείτοσιν.

Idem in Vita Solonis cap. 20 : γέροντι νέαν ἀγομένῳ φαίη τις ἂν ἐμμελὴς ἄρχων, ἢ νομοθέτης, τὸ πρὸς τὸν Φιλοκτήτην « εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας. » Meinek. : « Ex comœdia si versus petiti sunt, e Strattidis Philoctete derivatos esse suspiceris cum Matthia ad Eurip. vol. 9, p. 289. Ad v. 3 compara versum proverbialem in Append. proverb. Gott. 1, 73 : γέρων ἐρινὸς εὐφρανεῖ τοὺς γείτονας. Ita enim legendum pro εὐφραίνει. »

** 301.

Ibidem C : τί οὖν, φήσαι τις ἄν, οὐκ ἀκούομεν ἐν κωμῳδίᾳ στρατιώτου λέγοντος

Λευκή με θρὶξ ἀπόμισθον ἐντεῦθεν ποιεῖ.

294.

Medicina morbum tuum auget.

295. a.

Stragula purpurea, et mensas pretiosas.

296. a.

Siccam, sterilem, et male conserendam.

296. b.

Isthmiorum præmium darem pretio,
quo hæc apiorum corona est venalis.

297.

Familiaritatem vero adspiciens concidi :
imberbis, tener, et venustus est adolescens.

298.

Fiat mihi inhærentem mori et epigramma adipisci.

299. 300.

A. Quæ enim te puella, et quæ virgo juvenilis,
accipiat? aptus scilicet, miser es matrimonio.
B. Uxorem duco senex (sat scio) etiam vicinis.

301.

Albi crines dehinc mercede me eximunt.

* 302.

Plut., Præc. reipubl. admin. p. 807, B : τραχὺς ὢν (Κλέων) πρὸς τοὺς ἐπιεικεῖς καὶ βαρὺς, αὖθις ὑπέβαλε τοῖς πολλοῖς πρὸς χάριν ἑαυτὸν

Γεροντεγωγῶν κἀναμισθαρνεῖν διδούς.

Idem, V. Niciæ cap. 2 : ἴσχυε μὲν γὰρ ὁ Κλέων μέγα, γεροντεγωγῶν καὶ ἀναμισθαρνεῖν διδούς. Ubique malim infinitivo γεροντεγωγεῖν.

** 303.

Ibid. p. 811, F : οὐδὲν οὖν τούτου διαφέρουσιν οἱ πρὸς πᾶσαν ἀποδυόμενοι πολιτικὴν πρᾶξιν, ἀλλὰ ποιοῦσι μεμπτοὺς ἑαυτοὺς τοῖς πολλοῖς, ἐπαχθεῖς τε γίνονται καὶ κατορθοῦντες ἐπίφθονοι, κἂν σφαλῶσιν ἐπίχαρτοι, καὶ τὸ θαυμαζόμενον αὐτῶν ἐν ἀρχῇ τῆς ἐπιμελείας εἰς χλευασμὸν ὑπονοστεῖ καὶ γέλωτα. τοιοῦτον

Μητίοχος μὲν γὰρ στρατηγεῖ, Μητίοχος δὲ τὰς ὁδοὺς,
Μητίοχος δ' ἄρτους ἐπωπᾷ, Μητίοχος δὲ τἄλφιτα,
Μητίοχος δὲ πᾶν ποιεῖται, Μητίοχος δ' οἰμώξεται.

τῶν Περικλέους οὗτος εἷς ἦν ἑταίρων, τῇ δι' ἐκεῖνον, ὡς ἔοικε, δυνάμει χρώμενος ἐπιφθόνως καὶ κατακόρως. « Notissimi sunt quos primus Porsonus in præf. Hecubæ p. XXIV cum his contendit Archilochi versus

Νῦν δὲ Λεώφιλος μὲν ἄρχει, Λεώφιλος δ' ἐπικρατεῖ,
Λεωφίλῳ δὲ πάντα κεῖται, Λεωφίλου δ' ἀκούεται.

Veteris Comici illos versus esse, idem recte statuit. Quanquam nec improbabiliter Bernhardyus Hist. litt. græc. p. 53, pro populari cantilena habet, qualibus, præsertim contumeliosis, trochaici tetrametri et aptissimi sunt, et frequenti usu fuere attritis erati. De Metiocho vel Metichо, Periclis familiari, eodemque architecto, vide Bergkium Commentt. p. 11, et Schœmann. De sortit. judic. p. 40. V. 1 γὰρ additum a Porsono. V. 2 codd. ἐποπτᾷ, quod non dubito quin corruptum sit. » *Mein.* Verum haud dubie ἐπωπᾷ, verbum notum ex Æschylo, et v. 3 scripsi πᾶν ποιεῖται pro πάντα π.

304.

Idem, De commun. notitt. p. 1071, D : ὅμοια ληροῦσι τῷ λέγοντι

Δειπνῶμεν, ἵνα θύωμεν, ἵνα λουώμεθα.

** 305.

Idem, Non posse suav. vivi etc. p. 1098, B : καὶ γὰρ οἱ θεράποντες, ὅταν Κρόνια δειπνῶσιν, ἢ Διονύσια κατ' ἀγρὸν ἄγωσι, περιιόντες, οὐκ ἂν αὐτῶν τὸν ὀλολυγμὸν ὑπομείναις καὶ τὸν θόρυβον, ὑπὸ χαρμονῆς καὶ ἀπειροκαλίας τοιαῦτα ποιούντων καὶ φθεγγομένων·

« Τί καὶ κάθη; πίωμεν· οὐ καὶ σιτία
πάρεστιν, ὦ δύστηνε; μὴ σαυτῷ φθόνει. »
Οἱ δ' εὐθὺς ἠλάλαξαν, ἐν δ' ἐκίρνατο
οἶνος· φέρων δὲ στέφανον ἀμφέθηκέ τις·
ὑμνεῖτο δ' αἰσχρῶς κλῶνα πρὸς καλὸν δάφνης
* ὁ Φοῖβος οὐ προσῳδά· τήν τ' ἐναύλιον
ὠθῶν τις ἐξέκλαξε σύγκοιτον φίλην.

« Ad Aristophanis Tagenistas hæc referebat Bergkius Commentt. p. 194. Non veteris comici versus esse, vel illud κάθη, quod primo versu legitur, mihi indicare videtur. V. 1 legebatur τί κάθη καὶ πίωμεν, quod correxi. Bergkius τί κάθη· σύ; παῖ, πίωμεν. Ibid. vulgo σῖτα. V. 5 ὑμνεῖτο δ' αἰσχρῶς, *turpiter canebatur*, non puto corruptum esse. Bergkius ὕμνει δέ τις αἰσχρῶς, et v. 6 ὡς Φοῖβος οὐ προσῳδά. Scolia et similes cantiunculæ fere a primo earum nomine appellabantur, e. c. Telamon, Boreas, aliæ. Tale fuisse videtur etiam Φοῖβος. Οὐ προσῳδά, adverbialiter : *immodulate.* Tum ἐναύλιον esse videtur *in conclavi suo versantem.* (Ego vereor ne scribendum sit ὑμνεῖτο δ' — ὦ Φοῖβ', ὅσ', οὐ προσῳδά! *Both.*) V. 7 permirum est doricum ἐξέκλαξε. » *Mein.* Quidni reponamus ἐξέκλαγξε? Interpretationem latinam adhuc differendam puto.

306.

Idem, Vita Pericl. c. 7 : ὑφ' ἧς (ἐλευθερίας), ὥσπερ ἵππον ἐξυβρίσαντα, τὸν δῆμον οἱ κωμῳδοποιοὶ λέγουσι πειθαρχεῖν οὐκέτι τολμᾶν, ἀλλὰ δάκνειν τὴν Εὔβοιαν καὶ ταῖς νήσοις ἐπιπηδᾶν. Versus sic restituit Meinek. :

— Ἐξυβρίσας πειθαρχεῖν οὐκέτι τολμᾷ,
ἀλλὰ δακνάζει τὴν Εὔβοιαν, καὶ ταῖς νήσοις ἐπιπηδᾷ.

302.

Senem (se) ducere et mereri permittens.

303.

Metiochus enim dux est, et Metiochus vias,
Metiochus panes curat, Metiochus polentam,
Metiochus omnia sibi vindicat, Metiochus plorabit.

304.

Epulemur, ut sacrificemur, ut lavemus.

306

Superbiens obedire non audet amplius,
sed mordet Eubœam, et ad insulas assilit.

* 307.

Plut. ibid. c. 8 : αἱ μέντοι κωμῳδίαι τῶν τότε διδασκάλων σπουδῇ τε πολλὰς καὶ μετὰ γέλωτος ἀφεικότων φωνὰς εἰς αὐτὸν (Periclem) ἐπὶ τῷ λόγῳ μάλιστα τὴν προσωνυμίαν (τοῦ Ὀλυμπίου) γενέσθαι δηλοῦσι, βροντᾶν μὲν αὐτὸν καὶ ἀστράπτειν ὅτε δημηγοροίη, δεινὸν δὲ κεραυνὸν ἐν γλώσσῃ φέρειν λεγόντων. Meinek., post δεινὸν indicata lacuna,

Δεινὸν... κεραυνὸν ἐν γλώττῃ φέρει.

* 308.

Idem, ibid. c. 13 : δεξάμενοι δὲ τὸν λόγον οἱ κωμικοὶ πολλὴν ἀσέλγειαν αὐτοῦ κατεσκέδασαν, εἴς τε τὴν Μενίππου γυναῖκα διαβάλλοντες, ἀνδρὸς φίλου καὶ ὑποστρατηγοῦντος, εἴς τε τὰς Πυριλάμπους ὀρνιθοτροφίας, ὃς ἑταῖρος ὢν Περικλέους, αἰτίαν εἶχε ταῶνας (?) ὑφιέναι ταῖς γυναιξὶν, αἷς ὁ Περικλῆς ἐπλησίαζε. « Menippus quidam ἱπποτρόφος, si scholiastæ fides, commemoratur ab Aristophane Av. 1293, non diversus ille fortasse a Pericleo, quem commemorat Plutarchus etiam Præc. polit. p. 812, D. De Pyrilampe, avium altore, scriptorum loca composuit Bœckhius Dissert. 2 de tempore Platon. reipubl. p. 14. » *Mein.*

** 309. a.

Idem, Vit. Demetr. c. 27 : ἡ Λάμια, τῷ βασιλεῖ παρασκευάζουσα δεῖπνον, ἠργυρολόγησε πολλούς. καὶ τὸ δεῖπνον οὕτως ἤνθησε τῇ δόξῃ διὰ τὴν πολυτέλειαν, ὥστε ὑπὸ Λυγκέως τοῦ Σαμίου συγγεγράφθαι. διὸ καὶ τῶν κωμικῶν τις οὐ φαύλως τὴν Λάμιαν ἑλέπολιν ἀληθῶς προσεῖπε. « Argute autem comicus ille Lamiam, Demetrii Poliorcetæ scortorum famosissimum, ἑλέπολιν vocavit, quod bellicum tormentum quam feliciter expugnandis urbibus adhibuerit Demetrius, notissimum est. Sed idem simul ad Helenam allusit, quam tragici poetæ ἑλέπολιν vocitabant : v. Æschyli Agam. 476, Euripidis Iphig Aul. 1476, 1511. » *Mein.*

309. b.

Idem, Compar. Nic. et Crassi c. 3 : ἀλλ' ὡς ἔοικε, καὶ τοῖς σπουδάζουσι περὶ αὐτὸν ἐδόκει, κατὰ τὸν κωμικὸν,

ἀνὴρ ἄριστος εἶναι τἄλλα πλὴν ἐν ἀσπίδι.

** 310.

Porphyrius De abstin. anim. 2, 58 : λέγουσι γοῦν καὶ τῶν ποιητῶν οἱ ἐπ' ὀλίγον σωφρονοῦντες. Τί, ὧδε μῶρος κ. τ. λ. (Vide supra fragm. 41.) ἄλλος δέ φησι

Ψαιστὰ, λιβανωτὸν, αὐτὰ ταῦτ' ὠνήσομαι·
οὐ τοῖς φίλοις θύω γὰρ, ἀλλὰ τοῖς θεοῖς
[τανῦν].

V. 1 libri μόνα τ' αὐτῶν ἥσομαι. Correxit Meinek., comparans cf. Philemon Inc. 12, 6 : κάππαριν, θύμον, ἀσπάραγον, αὐτὰ ταῦτα. Menander Inc. 5, 6 : ἃ δ' ἡ φύσις δέδωκεν, αὐτὰ ταῦτ' ἔχει, qui versus in uno cod. similiter interpolatus est, ἃ δ' ἡ φύσις δέδωκε, ταῦτ' ἔχει μόνα. Idem τανῦν, ut ineptum additamentum, delet.

** 311.

Idem, ib. 61 : οὐ γὰρ δὴ ἄνθρωπος μὲν ἐρεῖ

Εἰ μνημονεύεις εὖ παθὼν, φιλεῖς τέ με,
ἀπέχω πάλαι, Φιλῖνε, παρὰ σοῦ τὴν χάριν·
τούτου γὰρ αὐτὴν ἕνεκα πρὸς σὲ κατεθέμην.

θεὸς δὲ οὐκ ἀρκεῖται τούτοις. V. 2 sic Grotius; vulgo ἀπέχω πάλαι φιλεῖν ἀπαλάσσου τὴν χάριν. Cod. Meerm. ἀπέχω πάλαι φιλεῖν ἐπαράσσου τὴν χάριν. Pro πάλαι cod. Bodl. πάλιν. V. 3 ἕνεκα Grotius. Libri ἕνεκεν.

311. b.

Pollux, 2, 9 : ἠίθεος, οὔπω πρόσηβος, ἀντίπαις, ὡς οἱ νέοι κωμικοί. Ibidem 16 : τὰ κωμικὰ σκώμματα (γερόντων) Κρόνος, κρονικὸς, κρονόληρος, πρεσβύτερος Κρόνου (Κόδρου ed. Bekk.), νωδογέρων, τυμβογέρων, μακκοῶν, παρενοῶν, παραγεγηρακὼς, παραφρονῶν, ἐξεστηκὼς ὑπὸ γήρως, παρακεκινηκὼς ὑφ' ἡλικίας, παραλλάττων, ὑπὲρ τὰς ἐλάφους βεβιωκὼς, ἢ τὰς κορώνας, ἢ ταῖς νύμφαις ἰσῆλιξ, καὶ τὰ ὅμοια. « Ad postrema cf. Phrynichum App. soph. p. 43, 20, Ἰσῆλιξ : κοινότερον τοῦ ἡλικιώτης. Idem, Phryn. p. 68, 21, ὑπερφυὴς Κρόνος de sene decrepito dictum fuisse annotavit, quod et ipsum ex poeta comico ductum, quemadmodum etiam Κρονοθήκη et Κρονοδαίμων apud eundem p. 46, 5 et 30. » *Mein.*

312.

Ib. 35 : καὶ ἐψήσασθαι δὲ τὴν κόμην τὸ καταχρῶσαι ἔλεγον, καὶ τὴν κόμην ἠψήσατο, καὶ ἐφθὴν τὴν κόμην ξανθίζεται. Sic Bekker. pro ἐφθήν

307.

Terribile.... fulmen in lingua fert.

309. b.

Vir ceterum optimus, præterquam clipeatus.

310.

Liba, thus, hæc sola emam :
non amicis enim sacra facio, sed diis.

311.

Si memor es beneficii, meque amas,
dudum habeo, Philine, abs te gratiam.
hujus enim causa eam (*puellam*) apud te collocavi.

τὴν κ. ξανθίζεσθαι. Ibidem 47 : ἡ δὲ νέα κωμῳδία καὶ προσωποποιὸν εἴρηκεν, ὃν ἡ ἀρχαία σκευοποιόν. Idem 7, 189 : τοὺς δὲ μηχανοποιοὺς καὶ σκηνοποιοὺς ἡ παλαιὰ κωμῳδία ὠνόμαζε.

313.

Pollux, 2, 28 : τὰς δὲ συνεστραμμένας τρίχας μετὰ ῥύπου στόρθυγγας ἡ κωμῳδία καλεῖ. Apud Hesychium σπόρθυγγες vitiose scriptum censet Mein.

314.

Ib. 42 : καὶ ποτίκρανον τὸ προσκεφάλαιον οἱ κωμικοί (cod. Falck. ποιηταί). Idemque 6, 9 : καὶ ποτίκρανον οἱ κωμικοὶ τὸ προσκεφάλαιον, ἢ τὸ ὑπηρέσιον. — Idem, 2, 51 : διάστροφος, στρεβλός· ὁ γὰρ στραβὸς ἰδιωτικόν. καὶ οἱ στράβωνες ἐν τῇ νέᾳ κωμῳδίᾳ. — Ibid. 52 : ἰλλώπτειν ἐν τῇ κωμῳδίᾳ τὸ παραβλέπειν.

315.

Idem, 2, 90 : τὸ δὲ συνάγειν τὰ χείλη μοιμύλλειν ἡ κωμῳδία καὶ μοιμυλλᾶν φησι. — Ibid. 97 : παρὰ Ξενοφῶντι καὶ ἀναχαίνειν καὶ παρ' Ἀριστοφάνει. ἐκ τούτου δὲ καὶ ὁ κατάγελως καταχήνη εἴρηται παρὰ τοῖς κωμικοῖς καὶ χάνος δὲ παρ' αὐτοῖς τὸ στόμα.

316.

Idem, 2, 140 : ὠλέκρανον, ἀφ' οὗ καὶ τὸ ὠλεκρανίζειν παρὰ τοῖς κωμικοῖς. « Rectius hoc verbum scribitur ὀλεκρανίζειν. E comico poeta exsignavit Phrynichus Bekk. p. 56, 17, Ὀλεκρανίζεσθαι· τὸ τοῖς ὀλεκράνοις παίεσθαι. » *Mein.* — Ibid. 170 : καὶ ἠτριαῖα τεμάχη οἱ κωμῳδοὶ λέγουσιν. — Ibid. 176 : τὸ δὲ ἀνασπάσαι τὸ αἰδοῖον παρὰ τοῖς ἀρχαίοις κωμικοῖς ἀναστῦψαι καλεῖται. — Ibid. 232 : ἡ δὲ νέα κωμῳδία καὶ ὀστοθήκην καὶ ὀστοκόπους (Bekk. ὀστοκόπον) λέγει.

317.

Idem, 3, 47 : τῶν νέων κωμικῶν τινὲς τὸν ἄγαμον ἀγάμητον εἰρήκασι. — Ibid. 105 : νοσηρὸν χωρίον, καὶ νοσῶδες. τὸ γὰρ νοσακερὸν ἐσχάτως κωμικόν. — Ibid. 136 : ὁ γὰρ ἄψυχος ἰδιωτῶν, καὶ ὁ πτάκις σφόδρα κωμικόν. Ibid. 155 : μοχθηρὸν τὸ μέσον πέρδειν ἐν τῇ κωμῳδίᾳ· σχῆμα παλαίσματος τὸ πέρδειν. libri μοχθηρὸν γὰρ ἐν τῇ κωμῳδίᾳ σχῆμα παλαίσματος τὸ πέρδην. Photius ab Alberto emendatus, Μεσοπέρδην : ἐκ τῶν μέσων. ἀντὶ τοῦ μεσοφέρδην, μεμνηκότων τῶν ἀρχαίων χαρακτήρων. Dobræus Adv. I, p. 601 : « μεσοφέρδην a φέρω, ut ἄρδην, φύρδην, σύρδην, etc., quod in turpem jocum detorsit comicus. »

318.

Id. 4, 169 : παρακρουσιχοίνικος ἐν τῇ κωμῳδίᾳ ὁ κρουσιμετρῶν. — Ibid. 179 : τὸ δὲ κενῶσαι διὰ καθάρσεως καὶ ἐξινῶσαι λέγουσι, καὶ ἐξινωμένον ἡ κωμῳδία τὸν κεκαθαρμένον, ὡς ἐκ τῶν ἰνῶν φερομένης τῆς χολῆς. — Ibid. 182 : ποδοστράβη τὸ τὰ στρέμματα κατευθῦνον ἐν τῇ κωμῳδίᾳ ἐργαλεῖον ἰατρικόν. Et mox : καὶ μαχαίρια δὲ ἐκάλουν οἱ νέοι κωμῳδοί, ἐν οἷς ἀπέσχαζον ἢ ἔσχαζον.

319.

Id. 5, 101 : καὶ ἄλλους δέ τινας κόσμους ὀνομάζουσιν οἱ κωμῳδοδιδάσκαλοι, λῆρον, ὀχθοίβους, ὄλεθρον, ἐλλέβορον, πομφόλυγας, βάραθρον, περιστέρια, σαμάκια, σισύμβριον, σισάριον, ὧν οὐ ῥᾴδιον τὰς ἰδέας συννοῆσαι διὰ τὸ μηδὲ πρόχειρον εἶναί τινα κατιδεῖν, εἴτε σπουδάζοντες, εἴτε παίζοντες, χρῶνται τοῖς ὀνόμασιν. « Horum pleraque ad Pherecratis Λήρους et Aristophanis Thesmophoriazusas alteras spectant. » *Mein.*

320.

Id. 6, 42 : καὶ φαγέσωρον τὸν ἄπληστον οἱ κωμικοὶ ὠνόμαζον, καὶ τὴν γαστέρα τοῦ τοιούτου φαρμακῖτιν. Imo Φαγεσωρῖτιν, ut est ap. Bekker. — Ibid. 45 : ἃς δὲ οἱ νῦν θλαστὰς (ἐλάας), ταύτας πυρῆνας οἱ κωμικοί. — Ibid. 48 : ὁ γὰρ ὀξερίας τυρὸς εἴρηται μὲν τῇ κωμῳδίᾳ· Σικελικὸν δὲ τὸ ἔδεσμα. — Ibid. 62 : οἱ κωμικοὶ δ' ὠνόμαζον τὰ περικόμματα καὶ χναύματα. — Ib. 159 : ἡ δὲ κωμῳδία καὶ συγκηδεστήν.

321.

Ibid. 164 : παλίμπηγα οἱ κωμικοὶ τὰ παλαιὰ καττύματα. Eadem fere 7, 82 : τὰ παλαιὰ καττύματα παλίμπηγα ὀνομάζεται. — Ibid. 185 : τὸ θερμερύνεσθαι καὶ κιχλιδιᾶν κωμικὰ μέν, ἐμοὶ δὲ οὐκ ἀρεστά. Cod. Falck. θεμερύνεσθαι. Cod. Pal. καὶ κυχλοιδιᾶν, quæ codd. Par. omittunt. — Ibid. 188 : ἑταιριζόμενος· οὕτω γὰρ οἱ κωμικοὶ ὀνομάζουσι τὸν περὶ τὰς ἑταίρας ἔχοντα.

322.

Idem, 7, 61 : ἣν συρίαν οἱ πολλοί, ταύτην αὐτόποκον ἱμάτιον οἱ κωμικοί. « De αὐτοπόκῳ ἱματίῳ incredibilia tradit grammaticus Seguer. p. 467, 18, Αὐτόποκον : ἱμάτιον τὸ ἐξ αὐτοῦ τοῦ πόκου εἰς κρόκην βληθέν, ὃ καὶ αὐτοπυρίτην καλοῦσιν. Sæpissime duo articuli in unum temere conflati sunt. Scribendum :

αὐτόποκον : ἱμάτιον τὸ ἐξ αὐτοῦ τοῦ πόκου εἰς κρόκην βληθέν.

αὐτόπυρος : ἄρτος, ὃν καὶ αὐτοπυρίτην καλοῦσιν. » *Mein.*

323.

Idem, 7, 71 : τὸ ἐν τῇ μέσῃ κωμῳδίᾳ καψιδρώτιον καλούμενον, ὃ νῦν σουδάριον ὀνομάζεται. — Ibid. 132 : φόρτακας μέντοι ἡ παλαιὰ κωμῳδία τοὺς ἀχθοφοροῦντας ἐκ τοῦ ἐμπορίου καλεῖ.

324.

Pollux, ib. 82 : τοὺς δὲ τὰ ὑποδήματα ῥάπτοντας πισύγγους ἔνιοι (Meinek. conjicit οἱ νέοι) τῶν κωμικῶν καλοῦσι, καὶ τὰ ἐργαστήρια αὐτῶν πισύγγια. — Ibid. 132 : καὶ προυνίκους τοὺς μισθωτοὺς οἱ νέοι κωμῳδοδιδάσκαλοι ἐκάλουν. τὸ δὲ ὄνομα Βυζαντίων ἦν, ὅθεν καὶ Βυζαντίους αὐτοὺς ἀπεκάλουν. Eust. p. 983, 48, ex Ælio Dionysio : προύνειχος ὁ κομίζων μισθοῦ τινα ἐξ ἀγροῦ. — Ibid. 167 : ἡ δὲ νέα κωμῳδία καὶ λουτῆρας λέγει. — Id. 8, 81 : Σκυρίαν δίκην ὀνομάζουσιν οἱ κωμῳδοδιδάσκαλοι τὴν τραχεῖαν. — Idem 9, 17 : ἡ δὲ παλαιὰ κωμῳδία καὶ ἀστῆς ἐλαίας εἴρηκε τῆς ἐν πόλει. Olivam dicit in arce Athenarum. — Ibid. 149 : χλευαστής, χλευαστικός· τὸ γὰρ χλεῦαξ κωμικώτερον.

325.

Idem 10, 123 : καὶ ὁ παρὰ τοῖς κωμῳδοῖς χιτὼν εὐνητήρ, ὃς τοῦ νῦν ἐγκοιμήτωρ ἡδίων. — Ibid. 147 fabri ferrarii instrumenta enumerantur : τάχα δὲ καὶ μοχλίον, εἰ καὶ τοῖς τοιχωρύχοις τοῦτο προστιθέασιν οἱ κωμῳδοποιοί.

326.

Ἱμάτιον ἐφόρει μαλακὸν ἐρίων Σικελικῶν.
Τὸ δὲ προσκεφάλαιον, φησὶν, ἅμα σοὶ βούλομαι.

Servavit Rufinus De metris com. p. 2711, ex Juba. Alter versus non est integer.

** 327.

Scholiasta Euripidis Orest. 224, μεταβολὴ πάντων γλυκύ : συνυπακουστέον τὸ κακῶν. κεκωμῴδηται δὲ ὁ στίχος. τὸ γὰρ ἐξ ὑγείας εἰς νόσον μεταβαλεῖν οὐκ ἔστιν ἡδύ. φησὶ γὰρ ὁ κωμικός·

Ὁ πρῶτος εἰπὼν « μεταβολὴ πάντων γλυκὺ, »
οὐχ ὑγίαινε, δέσποτ'· ἐκ μὲν γὰρ κόπου
γλυκεῖ' ἀνάπαυσις, ἐξ ἀλουσίας δ' ὕδωρ,
καὶ τἄλλα δὴ τὰ τοιαῦτ'· ἐὰν δ' ἐκ πλουσίου
πτωχὸς γένηται, μεταβολὴ μὲν, ἡδὺ δ' οὔ.
Ὥστ' οὐχὶ πάντων ἡ μεταβολὴ δὴ γλυκύ.

V. 2 cod. οὐχ ὑγιαίνει δέ ποτε. Correxit Porsonus. V. 3 cod. γλυκίαι. Tum Porsonus ἐκ δ' ἀλουσίας. V. 4 cod. καὶ τὰ τοιαῦτα, ἂν δὲ ἐκ πλουσίου. Correxit Porsonus, nisi quod etiam articulum ante τοιαῦτα delevit. V. 6 sic Porsonus. Codex μεταβολὴ γλυκεῖα. Meinek. conjecit : ὥστ' οὐχὶ πάντων ἐστὶ μεταβολὴ γλυκύ. Est glossema, si quid video, quod fucatur his correctionibus.

328.

Idem, Schol. Orest. 163 : ἃ γὰρ μὴ δύναται γράφεσθαι, ταῦτα δι' ἑτέρων προσώπων δηλοῦται, οἷόν τι καὶ παρὰ τῷ κωμικῷ οἰκέτου στενάξαντος ἕτερός φησιν Ἀκούεις, ὡς στένει;

329.

Idem, Schol. Troad. 122 : ὦ νῆες ἐπὶ αὐλοῖς καὶ παιᾶνι τὴν Τροίαν προσορμισάμεναι, παρ' ὅσον αὐλοῦσιν· αὐλοὺς ἔχοντες.......

Ἀλλ', Ἡράκλεις, αὐλεῖ τις!

Sic Mein.; cod. Ἡρακλῆς.

** 330.

Καὶ γὰρ μετὰ Κάλλα γέγονα, καὶ μετ' Αἰχμία,
καὶ μετὰ Μενοίτα, καὶ μετὰ Περδίκκα πάλιν,
καὶ ναί γε, μὰ Δία, τρίτον ἔτος μετὰ Κινησία.

Servavit scholiasta Hermogenis in Rhett. Walz. vol. 5, p. 485. Vide Menandrum in Μισουμένῳ, pag. 34 ed. Paris., ubi habes varietatem et latina.

331.

Schol. Aristoph. Eq. 819, ἐγκρυφιάζων : ἐμφωλεύων. καὶ ἀποκρύπτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν,

Ἐλάνθανές με ῥᾳδιουργῶν περὶ πόλιν.

Sic Meinek. pro περὶ τὴν πόλιν.

** 332.

Idem ad Ran. 272 : Καλλίστρατος, ὅτι τὸν ναῦλον ἀρσενικῶς, καὶ οὐχὶ τὸ ναῦλον, εἰώθασι λέγειν.... καὶ ἔστι παρὰ τοῖς νεωτέροις καὶ ἡ ναῦλος,

Ἡ ναῦλος ἡμῖν τῆς νεὼς ὀφείλεται.

333.

Idem ad Nub. 145 : τοῦτον τὸν χρησμὸν (Delphicum responsum dicit de Socratis sapientia,

---

326.

Vestem gestabat mollem ex lana Sicula.

327.

Qui primus dixit, « mutatio in omnibus dulcis », sanus non erat, here : nam ex labore quidem dulcis est requies, ex illuvie aqua, et cetera quæ sunt hujus generis : verum si quis [ex divite fiat pauper, mutatio quidem est, minime vero [res dulcis: non omnium igitur sane mutatio est dulcis.

329.

At, hercle! tibiis canit aliquis.

331.

Latebas me negligenter agens circa urbem

332.

Navis portorium nobis debetur.

duobus trimetris iambicis inclusum) Ἀπολλώνιος ὁ Μόλων ἐψεῦσθαί φησιν· τοὺς γὰρ Πυθικοὺς χρησμοὺς ἑξαμέτρους εἶναι. καὶ ἔστι δὲ παρὰ κωμικῷ τινι,

Εἰ συγκεχρῶσθαι τοῖς νεκροῖς δυνήσεται.

Vulgo τῇ συγκεχωρῆσθαι τῷ χρησμῷ δύναται, quod emendavit Toupius, coll. Diogene Laert. 7, 2: χρηστηριαζομένου αὐτοῦ (Ζήνωνος) τί πράττων ἄριστα βιώσεται, ἀποκρίνασθαι τὸν θεὸν, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς. Quibus Suidas s. v. Συγχρωτίζεσθαι addit: ὅ ἐστι τοῖς βιβλίοις τῶν ἀρχαίων· (ἄλλως hic addendum) τουτέστι μελέτην ἀσκεῖν.

334.

Scholiasta Pindari Pyth. 2, 125: οἱ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς... καὶ ὁ κωμικὸς

— Εὐθὺς δὲ Φοίνιξ γίγνομαι·
τῇ μὲν δίδωμι χειρὶ, τῇ δὲ λαμβάνω.

335. a.

Scholiasta Ven. Iliad. B, 424: Ἀρίσταρχος τὰ κνίση οὐδετέρως ἀκούει... καὶ ἔστιν ἐν τῇ κωμῳδίᾳ τὸ ἐνιχὸν

Τὸ κνῖσος ὀπτῶν ὀλλύεις τοὺς γείτονας.

335. b.

Idem ad Iliad. N, 291: καὶ ὁ Αυσίας τὸν Ἰφικράτην ποιεῖ λέγοντα· « τραύματα ἔχων, οὐχ ἄλλων ἐπ' ἐμὲ ἐρχομένων, ἀλλ' αὐτὸς ἐπιών. » ἀνδρογύνης καὶ ἔτ' ὀλίγα τραύματα ἐξόπισθεν ἔχων, τῆς δειλίας σημεῖα, καὶ οὐχὶ τοῦ θράσους. « Comici vel tragici poetæ hic versum latere, indicavi Curis crit. p. 34. Prius si verum est, possis

Ἀνδρόγυνος ὀλίγα τραύματ' ἐξόπισθ' ἔχων
τῆς δειλίας σημεῖα κοὐχὶ τοῦ θράσους. » M.

336.

Scholiasta Soph. Aj. 257: οὐκέτι κατέχει αὐτὸν ἡ μανία, ἀλλὰ λήγει, ὡς ὀξὺς νότος ταχέως λήγει... οἷόν ἐστι καὶ ἐν τῇ κωμῳδίᾳ

Ἀλλ' ἔπεσε ταχέως· δειλινὸς γὰρ ἤρξατο.

Transcripsit Suidas s. v. Στεροπή.

** 337.

Scholiasta Æschinis C. Tim. § 64, 2: κεκωμῴδηται ὁ Ἀριστοφῶν, ὡς ὑπὲρ Χάρητος μισθοῦ λέγων, καὶ ὡς παρανόμων γραφὴν πεφευγὼς, καὶ ὡς στρατηγήσας ἐν Κέῳ καὶ διὰ φιλοχρηματίαν πολλὰ κακὰ ἐργασάμενος τοὺς ἐνοικοῦντας, ἐφ' ᾧ γραφεὶς ὑπὸ Ὑπερίδου παρανόμων ἑάλω. φησὶ δ' αὐτὸν Ὑπερίδης καὶ Ἀρδηττον ἐπικληθῆναι διὰ τὸ πολλάκις αὐτόθι ἐπιωρκηκέναι. « Aristophontem dicit Azeniensem, de quo vide Ruhnkenii Hist. crit. orat. p. 46. » *Mein.*

** 338. a.

Scholiasta Aristidis ed. Fromm. p. 169: ἔχομεν παρὰ τοῖς κωμικοῖς, ὅτι τινὰ τῶν ἐκτεθέντων παίδων ἀπό τινων σημείων ἐν αὐτοῖς ὄντων ἀνεγνωρίζοντο.

* 338. b.

Scriptor de Comœdia p. XVI: τέταρτον (comicæ dictionis genus) κατὰ παρωνυμίαν, ὅταν τῷ κυρίῳ ἔξωθέν τι ἅπτηται, ὡς τὸ Μώμαξ καλοῦμαι Μίδας.... ἕκτον κατὰ ἐξαλλαγὴν, ὡς τὸ Ὦ Βδεῦ δέσποτα, ἀντὶ τοῦ ὦ Ζεῦ. Pro μώμαξ cod. Par. μίμαξ, Laur. μωξ. Suspicabatur Meinek. Μῶμαξ vel Μῖμαξ καλοῦμαι Μειδίας, H. Jacobi καλοῦμαι καὶ Μίδας.

** 339.

Sextus Emp. 9, 186: εἰ δὲ ὁ ἐλεὸς θεός ἐστι, καὶ ὁ φόβος ἀμορφότατος μὲν τὴν ὄψιν· Εἰμὶ γὰρ Φόβος κτλ. Meinekius:

Ἀμορφότατος τὴν ὄψιν εἰμὶ γὰρ Φόβος,
πάντων ἐλάχιστον τοῦ καλοῦ μετέχων θεός.

« Libri pro μὲν habent γάρ, quod expunxi et verba ἀμφορφότατος τὴν ὄψιν cum poetæ verbis conjunxi. Fortasse tamen distinguendum, Ἀμορφότατος τὴν ὄψιν· εἰμὶ γὰρ etc. Locus ex prologo comœdiæ derivatus est. Cf. ad Menandr. ed. maj. p. 284. »

340.

Idem, 11, 121: ὁ τὸν πλοῦτον ἀγαθὸν εἶναι ὑπειληφὼς ὀφείλει ... ἑκάστοτε πρὸς ἑαυτὸν τὸ κωμικὸν ἀναμελετᾶν παράγγελμα,

Κέρδαιν' ἑταῖρε καὶ θέρους καὶ χειμῶνος.

« Versum ex Eupolidis Baptis derivatum credam,

333.
Si concolor fieri poterit mortuis.

334.
Extemplo autem Phœnix fio:
altera quidem manu do, sed altera sumo.

335. a.
Omentum assans perdis (odore) vicinos.

335. b.
Mollis homo, paucis vulneribus a tergo,
ignaviæ signis, non audaciæ.

336.
Sed cecidit (ventus) subito: vespere enim cœpit.

339.
Deformissimus enim adspectu sum Metus,
omnium minime particeps venusti deus.

340.
Lucrifac et hieme et æstate.

qua in fabula certas ob causas Hipponacteis iambis usus est. Nisi forte Sextus, qui toties in scriptorum, quos citat, nominibus erravit, hic comico poetæ attribuit, quæ sunt iambographi. » *Mein.* Ordo verborum turbatus fuit, nihil amplius. Scribo

Κέρδαινε καὶ χειμῶνος, ἑταῖρε, καὶ θέρους.

341.

Stephanus Byz. v. Βοιωτία, p. 229 : καὶ Βοιωτὶς, καὶ Βοιωτίδιον, ἐκ Βοιώτιδος. Ἀριστοφάνης Ἀχαρνεῦσιν (572) « Ὦ χαῖρε κολλικόφαγε Βοιωτίδιον. » καὶ ῥῆμα

Βοιωτιάζειν ἔμαθες.

« Videtur Aristophanis esse. » *M.*

342.

Idem, v. Τάρταρος, p. 696 : ὁ οἰκήτωρ Ταρτάριος, καὶ διὰ τῆς ει διφθόγγου παρ' Εὐριπίδῃ ἐν Εὐρυσθεῖ σατυρικῷ· καὶ Ταρταρίτης τὸ κωμικόν.

** 343. a. b.

Stobæus Flor. 29, 26.

Ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίγνεται.
Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.

« Alter fortasse tragici poetæ versus. In eo πόνος pro πόθος Valckenarii est emendatio. » *Mein.*

** 344.

Idem, ib. 55, 7.

Οὐκ, ἂν τις εἴπῃ πολλὰ, θαυμασθήσεται,
ὁ μικρὰ δ' εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμα.

345.

Idem, ib. 36, 5.

Ληρεῖς, ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν.

** 346.

Ib. 68, 26, cum lemmate Θεοδέκτου.

Παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος·
τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν·
ὅταν δὲ τύχωμεν, ὕστερον λυπούμεθα.

« Tragici non esse, apertum est. Fortasse Θεογνήτου legendum, cujus fragmenta supra retulimus. » *Mein.*

** 347.

Ib. 84, 2, ubi male Euripidi tribuitur

— Τὸν τῇ φύσει
οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ.

** 348.

Ib. 68, 22, cum lemmate Χαιρήμονος.

Γυναῖκα θάπτειν κρεῖττόν ἐστιν ἢ γαμεῖν.

Φιλήμονος conjicit Meinek., conferens Monost. 95

349.

Ib. 69, 1, ubi Theodectæ tribuitur.

Ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις,
οὐχ, ὡς δοκεῖ, γυναῖκα λαμβάνει μόνον,
ὁμοῦ δὲ τῇδέ γ' εἰσκομίζεται λαβὼν
καὶ δαίμον', ἤτοι χρηστὸν, ἢ τοὐναντίον.

« Vide ad fragm. 346. Non repugnabo tamen, si quis hoc loco Theodectæ nomen tuebitur. » *Mein.* V. 3 libri τῇδέ τ' εἰσκομίζεται.

** 350.

Ib. 7, cum lemmate κωμικοῦ ποιητοῦ.

Ἐγὼ γεωργῶ τὸν ἀγρὸν, οὐχ ὅπως τρέφῃ
αὐτός με, παρ' ἐμοῦ δ' ἵνα τροφὴν προσλαμβάνῃ·
σκάπτω γὰρ αὐτὸς ἐπιμελῶς, σπείρω τ' ἀεὶ
καὶ πάντα ποιῶ πρὸς τὸ δοῦναι καὶ λαβεῖν·
ὁ δὲ λαμβάνει μὲν, ἀποδίδωσι δ' οὐδὲ ἕν. —
Ἀποστερητὴν ἔλαθεν ἀγοράσας ἀγρόν.
Ἔσπειρα μὲν κριθῶν μεδίμνους εἴκοσι·

343. a.
Omnia præclara operam danti eveniunt.
343. b.
Omnia quærentis invenit labor.
344.
Non, si quis multa dicit, (homines) admirabuntur;
sed potius, si pauca, modo sint utilia.
345.
Nugaris, non opportuno tempore philosophans.
346.
Similis res senectus est nuptiis :
utrumque enim appetimus :
et, si contigerint, affligimur.
347.
— Natura
familiarem nullum tempus alienat.
348.
Melius est uxorem sepelire quam ducere.
349.
Sponsus enim quum sponsam introducit in domum,
non modo, ut videtur, uxorem accipit,
sed simul cum ea invehitur
dæmon, seu bonus, seu contrarius.

τούτων ἀπέδωκεν οὐδ' ὅλους τρισκαίδεκα,
οἱ δ' ἑπτ' ἐπὶ Θήβας ἐστράτευσάν μοι δοκῶ·
τὸ τῶν γυναικῶν σῆμα διατηρεῖ μόνον.
β. Ὀνησιφόρα γένοιτο. α. Τοῦτο γίγνεται·
ὃ γὰρ φέρει νῦν οὗτος, εἰς ὄνος φέρει.

Philemoni tribuebant, ubi vide latina et varietatem, p. 119 ed. Par. Recte Meinek. a sexto versu novum fragmentum incipit. Versum 9 recte explicat Dobræus Adv. 2, p. 289 : *reliqui septem modii, instar septem ducum istorum, illuc iverunt nunquam redituri.*

** 351.

Stob. Flor. 115, 12 :

Τηρεῖν μὲν ἑτέρους οἱ γέροντες δυνάμεθα
ἡμεῖς, ἀπολαύειν δ', ὧν ἔχουσιν, οἱ νέοι.

V. 2 ἀπολαύειν Scaliger. Libri δ' ἀπολαβεῖν.

** 352.

D. 95, 7.

Ἐρημός ἐστ' ἄνθρωπος ἠπορημένος.

** 353.

Ib. 114, 4.

Μηδέποτε πεῖραν τοῖς θεοῖς εὔχου λαβεῖν,
Φαίδιμε, τοιούτου μηδενὸς, μηδ' εἰδέναι,
ὡς ἔστιν ἑτέρῳ ῥᾴδιον παραινέσαι.

Cohæret vulgo cum Euripidis loco, a quo recte separavit Grotius.

** 354. 355.

Stob. Eclog. phys. 1, p. 194.

— Ἅπανθ' ὁρῶ
ἅμα τῇ τύχῃ ῥέοντα, μεταπίπτοντά τε. —
Ἀλλ' ἐστὶν εὔστοχόν τι βουλευτήριον
ταὐτόματον.

** 356.

Ibidem :

— Ἐπηρεαστικόν γέ τι
ταὐτόματόν ἐστι.

** 357.

Ibid. p. 196.

Ἡ τὰ θνητῶν καὶ τὰ θεῖα πάντ' ἐπισκοποῦσ' ἀεὶ,
καὶ νέμουσ' ἡμῶν ἑκάστῳ τὴν κατ' ἀξίαν τύχης
μερίδα.

« Versu 1 legebatur ἐπισκοποῦσα sine ἀεὶ, quod addidit, si recte memini, Jacobsius. Fortasse tragici poetæ fragmentum est. » *Mein.*

** 358.

Ibid. p. 229.

Ὁ πολὺς χρόνος πάντ' ἐξελέγχει, Νικοφῶν.

Sic Meinek. pro Νικόφρων.

** 359.

Stobæi Appendix Flor. p. 10, 17, cum lemmate Εὐριπίδου.

Πᾶς ὁ καθ' ἑαυτὸν τεχνολογῶν θαυμάζεται,
διακρινόμενος δὲ πρὸς ἑτέρους ἐλέγχεται
ὑποβολιμαίαν σύνεσιν ἠμφιεσμένος.

Comici poetæ esse vidit Gaisfordius.

360.

Strabo, 8, p. 388 : νυνὶ δὲ καὶ αὐτὴ ἡ Μεγαλόπολις τὸ τοῦ κωμικοῦ πέπονθε καὶ

Ἐρημία μεγάλη 'στὶν ἡ μεγάλη πόλις.

351.
Asservare quidem alios possumus nos
senes; sed iis, quæ habent, frui possunt juvenes.

352.
Desertus est homo inopiosus.

353.
Nunquam ora deos, Phædime,
ut horum ullum experiaris, et scias
facile esse alium adhortari.

354.
— Omnia video
cum fortuna fluere et recidere.

455.
At sagax quoddam consilium
est fors.

356.
— Noxium quiddam
est fors.

357.
Quæ mortalium et deorum rebus omnibus præest semper
et nostrûm cuique pro merito tribuit fortunæ
partem.

358.
Longum tempus omnia explorat, Nicophon.

359.
Quicumque per se ipse artem tractat, eum admirantur;
sed cum aliis comparatus supposititio
præditus esse intellectu arguitur.

360.
Magnum desertum est magna urbs (*Megalopolis*).

« Ubi in versu ἡ Μεγαλόπολις, sed recte legitur ap. eund. 16, p. 738, item ap. Eust. p. 302, 15. Respici videtur illud tempus, quo Megalopoli a Cleomene devastata et direpta incolæ urbis antea florentissimæ Messenam sese receperant. Vid: præter alios Polybium 2, 55. Itaque versum illum ex fabula post ol. 138 (ante Chr. nat. 227 - 334) commissa petitum esse efficitur. » *Mein.*

** 361.

Suetonius, V. Aug. c. 99 : *amicos admissos percunctatus* (Augustus), *ecquid iis videretur mimum vitæ commode transegisse? adjecit et clausulam*,

— Εἰ δὲ πᾶν ἔχει καλῶς, τῷ παιγνίῳ
δότε κρότον, καὶ πάντες ὑμεῖς μετὰ χαρᾶς
κτυπήσατε.

Primum versum, in Turnebi codd. et libro Memm. servatum, ita supplebat Meinek. : εἰ δὲ πᾶν ἔχειν καλῶς ὑμῖν δοκεῖ, τῷ παιγνίῳ.

362.

Tryphon qui dicitur in Museo crit. Cantabr. 1, p. 48 : ἀλλὰ καὶ ἀπὸ τοῦ εὑρήματος τὸν εὑρόντα (λέγομεν), οἷον

Οἶνος μ' ἔπεισε, δαιμόνων ὑπέρτατος.

Adolescentuli verba, delictum aliquod suum ebrietate excusantis. Cujus rei alia exempla ex nova comœdia attulit Meinek., etiam a tragœdia non fuisse alienam hanc excusationem demonstrans. Ut comicine an tragici poetæ sit versus in incerto ponendum sit. Idem vir doctus memorat latini poetæ incerti versum, in quo græcus expressus est :

Persuasit animo vinum, deus qui multo est maximus

apud Festum, v. Metonymia.

* 363.

Suidas, Ἀπέφθου χρυσίου : τουτέστι τοῦ πολλάκις ἑψηθέντος, ὥστε γενέσθαι ὄβρυζον.

Χρυσί' ἂν ἄπεφθα τοῖς Παταικοῖς ἐμφερῆ.

Vulgo χρυσί' ἄπεφθά τε τοῖς Π. ἐ. Cod. A χρυσίαις ἄπαιφθα, C χρυσίαις ἄπεφθα, uterque omittens τε. Bernhardyus irrideri a poeta putat aureos Atticos, ex varia materia sub Antigenis magistratu conflatos, tamque pravo commate percussos, ut monstrosam quasi spinturnicii formam referre viderentur, coll. Aristoph. Ran. 732 et Bœckhio Œcon. att. 1, p. 24.

* 364.

Suidas, Ἀπηλλάγησαν : ἐτελεύτησαν, ἢ τινος ἀπεστερήθησαν.

Ἀπηλλάγημεν πολυχέσου νοσήματος.

Pro νοσήματος duo libri πάθους, unde Schæferus ad Dionys. C. V. p. 203 παθήματος, non improbante Bernhardyo.

365.

Suidas, Ἀσπάζεσθαι : αἰτιατικῇ..... καὶ ἀσπαζόμεσθα, σὺν τῷ σ.

Ἀσπαζόμεσθ' ἐρετμία καὶ σκαλμίδια.

Cod. ἐρετμὰ, Mein. ἐρετμία, aptius versiculo, ne producenda sit media syllaba vocis ἐρετμά.

366.

Suidas, Ἐπεισπέπαικεν : εἰσεπήδησεν, εἰσῆλθεν. Ἀριστοφάνης Πλούτῳ (805). καὶ αὖθις

— Μυκονίων δίκην
ἐπεισπέπαικεν εἰς τὰ συμπόσια.

Eadem habet Suidas s. v. Μυκώνιος γείτων. « Hoc loco utitur Athen. 1, p. 7, F : καὶ περὶ Περικλέους φησὶν Ἀρχίλοχος ὁ Πάριος ποιητὴς, ὡς ἀκλήτου ἐπαισπαίοντος εἰς τὰ συμπόσια Μυκονίων δίκην. Ipsius enim Archilochi de Pericle verba paulo inferius apposuit. » *Mein.*

367.

Suidas, v. Καλλισθένης : φέρεται λόγος, ὡς ὁ Καλλισθένης ὑπὸ φθειρῶν ὑπερβλύσεως καὶ ἐκβράσεως τὸν βίον καταστρέφει. καὶ μαρτυρεῖ ὁ ἴαμβος οὗτος,

Καὶ φθειριῶσαν, ὡς ὁ πρὶν Καλλισθένης,

περὶ τῆς ἰατρικῆς τέχνης, ὡς ἠμέλητο πάνυ. Callisthenem dicit Olynthium, Aristotelis discipulum, cujus nota est historia ex Plutarcho, Arriano, aliis. Comici poetæ num sit versus, mihi valde incertum videtur. » *Mein.*

361.

— Quodsi omnia bene habent, ludo
applaudite, et omnes vos cum gaudio strepitate!

362.

Vinum mihi persuasit, dæmonum summus.

364.

Defuncti sumus morbo multum cacante.

365.

Salutamus remulos et scalmulos.

366.

— Myconiorum modo
irrupit in convivia.

367.

Et pediculis arrosam, ut olim Callisthenem.

368.

Suidas, v. Μαρίλη : ἀμαυρὸν πῦρ. ὁ χνοῦς, καὶ τὸ λεπτότατον τῶν ἀνθράκων.

— Χαλκεὺς οἷά τις
γέμων καπνοῦ τε, καὶ μαρίλης.

Versu 2 τε addidit Mein.

** 369.

Idem :

Μὴ πολλάκις * πρὸς τὸν αὐτὸν δεῖ λίθον
παίειν, ἔχοντα καιρὸν ὁμολογούμενον.

Versu 1 δεῖ addidit Mein., post πολλάκις excidisse γὰρ putans. Verosimilius τι, quod haustum putes a κ sequente, *in aliqua re*, ut Thuc. 1, 89, Soph. Antig. 487.

* 370.

Zenobius, 1, 66, Ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμόν σε βουλεύειν : ὅτι μὴ χρὴ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι παρ' ὅσον καὶ οἱ τὰ ἱερεῖα προσάγοντες πρὸ τοῦ καλλιερῆσαι βουλεύονται. Meinek.: « Diogen. 2, 14 pro παρὰ habet περί. In Bodlej. 94 locus ita scribitur : ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμὸν τὰς ἐπινοίας. In Coisl. 16 præterea βαστάζειν βωμὸν additur, unde jam perfectus emergit tetrameter anapæsticus, antiquæ comœdiæ poeta dignissimus :

Ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμὸν βαστάζειν
τὰς ἐπινοίας. »

371.

Idem, 1, 93, Ἂν ἡ λεοντῆ μὴ ἐξίκηται, τὴν ἀλωπεκῆν πρόσαψον : ἂν μὴ φανερῶς δύνῃ βλάψαι, πανουργίᾳ χρῆσαι. Probabiliter tetrametrum iambicum restituit Mein.

Ἂν ἡ λεοντῆ μὴ 'ξίκητ', ἀλωπεκῆν πρόσαψον.

372.

Id. 3, 51, Εἷς ἀνὴρ, οὐδεὶς ἀνήρ : παρόσον ὑπὸ ἑνὸς οὐδὲν κατορθοῦται. « A comico usurpatum esse alicubi indicari memini. Simile huic proverbio quod servavit Hesychius, Ἐνουδέν : ἐπὶ τοῦ πολλοῦ λέγεται, quæ ita corrigo Ἓν οὐδέν : ἐπὶ τοῦ ὀλίγου λέγεται. » *Mein.*

* 373.

Idem, ibid. 77 :

Ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ.

ἐπὶ τῶν εὐτελῶν τῶν διὰ περιπέτειάν τινα τιμῆς ἀξιουμένων. De Androcle cf. Ecphantidem fragm. inc. 3, Cratinum Seriph. 2, et inc. fab. fragm. 22. Suspicabar κἂν et πολεμαρχοῖ. Sed rectius fortasse apud Macarium Walzii ad Arsen. p. 229 legitur διχοστασίῃσι. » *Mein.*

* 374.

Idem, 4, 17 :

Ἤτοι τέθνηκεν, ἢ διδάσκει γράμματα.

τῶν μετὰ Νικίου στρατευσαμένων εἰς Σικελίαν οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἐλήφθησαν αἰχμάλωτοι καὶ τοὺς τῶν Σικελιωτῶν παῖδας ἐδίδασκον γράμματα. Mein.: « Veri simile est, hæc ex comœdia petita est brevi post Siciliensem cladem in scenam commissa. »

375.

Idem, 3, 54 :

Εἰ μὴ δύναιο βοῦν, ἔλαυν' ὄνον.

ἐπὶ τῶν ὃ κατὰ δύναμιν ἔχουσιν πράττειν παρεγγυωμένων. Coisl. 129 ἔλαυνε δ' ὄνον. Mein. inter βοῦν et ἔλαυν' addendum putat ἐλᾶν.

376.

Idem, ib. 99.

Ἐκκέκοφθ' ἡ μουσική.

φασὶν ὅτι, τῶν παλαιῶν ἐν τοῖς συμποσίοις φιλολόγῳ ζητήσει χρωμένων, οἱ ὕστερον τὰς μουσουργοὺς καὶ κιθαριστρίας καὶ ὀρχηστρίας ἐπεισήγαγον.

* 377.

Idem, 4, 59, Κορυδέως εἰδεχθέστερος : οὗτος ὁ Κορυδεὺς ἐπὶ δυσμορφίᾳ ἐκωμῳδεῖτο, καὶ παῖδες αὐτοῦ, ὧν ἕνα Ἀρχέστρατόν φασιν. Hesychius, Κορυδεύς : ὄνομα κύριον. Οὗτος ἐκωμῳδεῖτο ἐπὶ δυσμορφίᾳ, καὶ οἱ παῖδες αὐτοῦ.

* 378.

Diogenianus, 3, 13.

Ἀτὰρ ἐκ καθαρῶν ἀχύρων σῖτον τετρύγηκας.

368.

— Ut faber aliquis ferrarius,
plenus fumi ac pulveris carbonum.

369.

Non sæpius allidi ad eundem lapidem
oportet, si tempus concessum est.

370.

Sed non ad aram ferre decet cogitationes.

371.

Si leonina pellis non sufficit, indue vulpinam.

373.

In seditione vel Androcles polemarchus est.

374.

Aut obiit, aut litteras docet.

375.

Si bovem agere non potes, age asinum,

376.

Exstincta est musica.

378.

Sed ex meris stipulis messem fecisti.

ἐπὶ τῶν μηδενὸς ἀγαθοῦ μεταλαγχανόντων. Sic Meinek.; libri τετρ. σῖτον.

379.

Diog., ib. 89 ·

Γέροντι μηδὲν μηδέποτε χρηστὸν ποιεῖν.

παραινεῖ μηδένα ἀκαίρως εὐεργετεῖν. Libri μηδέποτε μηδέν. Transposuit Mein. Idem comparat cantiunculam popularem :

Μήποτ' εὖ ἔρδειν γέροντα, μηδὲ παῖδα βάσκανον,
μηδὲ δαψιλῆ γέροντα, μηδὲ γείτονος κύνα,
μὴ κυβερνήτην φίλυπνον, μὴ λάλον κωπηλάτην.

** 380.

Idem, 5, 31 :

Ἵππος με φέρει, βασιλεύς με τρέφει.

Κορραῖόν τινά φασιν, ὑπὸ Φιλίππου στρατευόμενον ἱππέα, τῆς μητρὸς δεομένης αἰτήσασθαι ἄφεσιν τῆς στρατείας, εἰπεῖν τοῦτο. « Si recte hæc ex comœdia derivata esse conjeci, ad mediam comœdiam referenda fuerit. Expressit Horatius Epist. 1, 7, 20 : *equus ut me portet, alat rex.* » *Mein.*

381.

Idem, 6, 57 :

Μηδέποτε μηδεὶς γένοιτο Μεγαρέων σοφώτερος.

ἐπὶ τοῦ ἀναισθήτου. χαριεντιζόμενοι δὲ τοῦτο ἔλεγον. Libri Μεγαρέων γένοιτο, quæ transposuit Meineck., quem vide Hist. crit. Com. p. 20 seq.

382.

Appendix proverb. Gœtting. 2, 47 :

Ἐκ τῆς αὐτῆς ψιάθου γεγονώς.

ἐπὶ τῶν παραπλησίων καὶ ὁμοίων.

383.

Eadem, 4, 11, Ὀβολὸν εὗρε Παρνύτης : Καλλίστρατος Ἀθήνησι πολιτευσάμενος, ἐπικαλούμενος Παρνύτης, μισθὸν ἔταξε τοῖς δικασταῖς καὶ τοῖς ἐκκλησιασταῖς· ὅθεν σκωπτόντων αὐτὸν τῶν κωμικῶν εἰς παροιμίαν ἦλθε τὸ γελοῖον. « Nihili est illud Παρνύτης, pro quo Erasmus Adag. 2, 7, 50, exhibet Παρνοίτης. Ad verum ducere videtur Hesychius, Παρνόπη : Καλλίστρατος Ἀθηναῖος. Fortasse igitur Παρνοπὶς legendum, quod femininum esse potest nominis πάρνοψ. Lobeck. Pathol. p. 387 corrigit Παρνόπης. » *Mein.*

** 384.

Themistius, Or. 21, p. 262, C : οἷα δὲ λέγει ὁ μάγειρος ὁ κωμῳδικὸς, οὐδὲ ἐκεῖνα πάνυ ἐλυσιτέλει πυνθανομένῳ, ἀλλ' ἐπέτριβε τοὺς δαιτυμόνας, ἐξαλλάττων τὰ ἡδύσματα. ἀλλ' οὐκ ἐνταῦθα Καρίωνος τὸ κακὸν, τὸ μέγα, ὅτι μοχθηρὰ ἡ τέχνη αὐτοῦ καὶ ἀλλόκοτος, ἀλλ' ὅτι πονηρὸν ἀνθρώπιον ἦν καὶ οὐκ ἐπὶ τῷ ἔργῳ εἰς τὰς οἰκίας παρερχόμενον, ἀλλ' ἵνα λαλήσῃ, καὶ ψιθυρίσῃ, καὶ διαβάλῃ, καὶ ἐξενέγκῃ, καὶ οὐχ ὅσα μάγειρον εἰκὸς μαστιγίαν, ὃς δικαίως ἐκρέματο, ἂν οὕτω τύχῃ, διὰ τὴν χρηστὴν φιλομάθειαν, ἐν τῇ σπυρίδι, ἀλλὰ καὶ τὰ ἀπόρρητα τῆς οἰκίας, οὐδ' ὅσα ἀκήκοε μόνον, ἀλλὰ πολλὴ ἡ προσθήκη, καὶ ἡ τῶν κακῶν ἐποικοδόμησις. ἀλλ', ὦ μοχθηρὲ καὶ ἀπόπληκτε Καρίων, ἀκήκοας, ὅτι ὁ δεῖνα λιβανωτοῖς τοῖς θεοῖς ἔθυσε· λέγε οὖν ὅτι λιβανωτοῦ. μόνον γὰρ τοῦτο ἀκήκοας· καὶ μὴ, ὅτι παμμέλανας ταύρους, μηδὲ, ὅτι κριοὺς ἐκτομίας. σὺ δὲ καὶ εἴδωλα καταλέγεις, ὅσα ἐκίνησε τὸν Πλούτωνα, γοητεύσας· ἔπειτα, ἂν μὲν ἀγαθὸν πύθῃ, στεγανὸς εἶ καὶ Ἀρεοπαγίτου σιωπηλότερος· ἐὰν δέ τινος κακοῦ ἐπιλάβῃ, Ἰλιάδα ἐξ αὐτοῦ ποιεῖς καὶ Ὀδύσσειαν, πολλὰ οὔτ' αὐτὸς ἀκούσας, οὔτε παρακούσας, ἀλλ' αὐτὸς τεκὼν, καὶ αὐτὸς ὑφήνας. In his quod importunus iste coquus κριοὺς ἐκτομίας commemorasse dicitur, haud incommode admoveas Antiphanis Cycl. 2, 3 : αἶξ οὐρανία, κριὸς τομίας, κάπρος ἐκτομίας. Postrema verba ita leniter immutata, αὐτός τε τεκὼν καὐτὸς ὑφήνας, fortasse ipsa etiam ex poeta aliquo assumpta sunt. » *Mein.*

* 385.

Hesychius, Περισχαδόν : τὸν ὑποκρινόμενον τὸν Περσέα ὡς πτωχὸν καὶ φησίμορφον. ψιάθιον, ἐν ᾧ περιειλοῦσι τὰς ἰσχάδας. « Apertum est risisse poetam histrionis, qui Persei partes actitaverat, paupertatem et macilentiam. Pro φησίμορφον enim legendum φθισίμορφον. Sed περισχαδὸν expedire non licuit. Ante ψιάθιον incipere videtur novus articulus. Quæ si vera est conjectura, vox glossematica exciderit necesse est. » *Mein.*

* 386.

Idem, Σπερχυλλάδην κέκραγας : ἀγανακτήσας ὑλακτεῖς ἄγαν. παρὰ τὸ σπέρχεσθαι.

379.

Seni nunquam ulla in re benefacite.

380.

Equus me vehit, rex me alit.

381.

Ne quis unquam sapientior fiat quam Megarenses.

382.

Ex eodem ortus stragulo.

383.

Obolum invenit Parnopes.

386.

Incitato vocis impetu clamasti.

387.

Etymol. M. p. 262, 13 : ὥσπερ ἀπὸ τοῦ πλέον γίνεται κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς ει δίφθογγον πλεῖν σταδίου λαλίστερα (Aristoph. Ran. 91)... οὕτω καὶ ἀπὸ τοῦ δέον γίνεται δεῖν· Δεῖν τόδε γενέσθαι.

388.

Dio Chrysost. Or. 32, p. 664 : Ὁμήρου δὲ καὶ τῶν ἄλλων ποιητῶν ὑμνούντων ἀεὶ τὸν ὄχλον ὡς χαλεπόν τε καὶ ἀπειθῆ καὶ πρὸς ὕβριν ἕτοιμον, τοῦ μὲν οὕτω λέγοντος,

Κινήθη δ' ἀγορή, ὡς κύματα μακρὰ θαλάσσης, κτλ.

ἑτέρου δὲ πάλιν αὖ

— Δῆμος ἄστατον κακὸν
καὶ θαλάττῃ πάνθ' ὅμοιον ὑπ' ἀνέμου ῥιπίζεται·
καὶ γαληνὸς ἢν τύχῃ, πρὸς πνεῦμα βραχὺ κορύσσεται·
κἂν τις αἰτία γένηται, τὸν πολίτην κατέπιεν.

Versu 2 libri θαλάσσῃ. V. 3 libri γαληνὸς ἐντ' ἠχῷ, nonnulli ἐντείχω vel ἐντ' ἠχῶν. Quod dedimus, scripsit Kayserus. Deinde πρὸς πνεῦμα Reiskius pro πᾶν πν. V. 4 libri κῆν.

389.

Etymol. M. p. 372, 24 : ὑπερείδω, ἐξ οὗ καὶ τὸ

— Ὑπερείδοντα τοὺς νεανίας.

Sic Meinek. pro ὑπερείδοντα

390.

Grammaticus in Crameri Anecd. Paris. 4, p. 186, 16, Νεοπείνης : ἐν τῇ κωμῳδίᾳ ὁ νεωστὶ πεινῶν. Meinek. malit νεοπένης, ob Phrynichi glossam p. 52, 18 Bekk., Νεόπλουτος : τὸ δὲ νεοπένης σπάνιον.

391.

Etymol. M. p. 183, 25 : Ἀψίνθιον, εἶδος βοτάνης πικρᾶς, ὡς καὶ τὸ ἀβρότονον. ἔνιοι δὲ τῶν κωμικῶν ἀπίνθιον καλοῦσιν. Cf. Etym. Gud. p. 102, 7.

*392.

Phrynichus Bekk. p. 53, 2 : εὑρίσκομεν δὲ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τὸ οὐδέποτε καὶ ἐπὶ παρῳχημένου χρόνου,

Οὐδέποτε (δὲ) προδέδωκέ με.

Particulam inseruit Mein.

393.

Hesychius, Ὑν τετραστίαν κατεαγὲν Σαλαμήνιος. Sic codex. Conjunctis Sopingii et Nauckii conjecturis probabiliter Meinek.,

Τεραστίαν ὗν κατέφαγεν Σαλαμίνιος.

394.

Plutarch. De princ. philos. p. 777, C : τὸ δὲ λέγειν ὅτι δύο λόγοι εἰσίν..., ἕωλόν ἐστι, καὶ ὑποπιπτέτω τῷ

Τουτὶ μὲν ᾔδειν πρὶν Θέογνιν γεγονέναι.

395.

Idem, Sympos. p. 668, B : ὁ δὲ τὸ στιχίδιον τοῦτο ποιήσας,

Πρὸς κάππαριν ζῇς, δυνάμενος πρὸς ἀνθίαν,

τί ποτε βούλεται;

396.

Idem, De amore prol. p. 495, A : θαυμάζεται γὰρ ἐν τοῖς θεάτροις ὁ εἰπὼν

Μισθοῦ γὰρ ἀνθρώπων τις ἄνθρωπον φιλεῖ,

κατ' Ἐπίκουρον· ὁ πατὴρ τὸν υἱόν, ἡ μήτηρ τὸ τέκνον, οἱ παῖδες τοὺς τεκόντας. Recte suspicatur Meinek. esse Menandri.

397.

Idem, Vit. Pomp. c. 53 : ἐπεὶ δὲ ἀνεῖλεν ἡ τύχη τὸν ἔφεδρον τοῦ ἀγῶνος, εὐθὺς ἦν εἰπεῖν τὸ κωμικόν, ὡς

— Ἄτερος πρὸς τὸν ἕτερον
ὑπαλείφεται τὼ χεῖρέ θ' ὑποκονίεται.

387.

Oportere hoc fieri.

388.

— Populus, instabile malum
et mari per omnia simile, a vento jactatur :
et si forte tranquillus est, levi aura spirante assurgit;
et si qua causa emergit, civem cito devorat.

389.

— Animos addentem juvenibus.

392.

— Non unquam (vero) me prodidit.

393.

Monstrosam suem devoravit Salaminius.

394.

Hæc quidem noveram, antequam Theognis esset natus.

395.

Ad capparin vivis, quum possis ad anthiam.

396.

Nam pro mercede hominum non unus hominem amat.

397.

— Alter adversus alterum
manus sibi ungit et pulverem jactat.

* 398.

Plut., Vit. Periclis c. 16 : τὴν δύναμιν αὐτοῦ... κακοήθως παρεμφαίνουσιν οἱ κωμικοί, Πεισιστρατίδας μὲν νέους τοὺς περὶ αὐτὸν ἑταίρους καλοῦντες, αὐτὸν δ' ἀπομόσαι μὴ τυραννήσειν κελεύοντες, ὡς ἀσυμμέτρου πρὸς δημοκρατίαν καὶ βαρυτέρας περὶ αὐτὸν οὔσης ὑπεροχῆς.

399.

Antholog. Pal. 11, 440, cum lemm. Πιττακοῦ, in quo comici poetæ nomen, velut Φιλίσκου, latere vidit Meinekius.

Μεγαρεῖς δὲ φεῦγε πάντας· εἰσὶ γὰρ πικροί.

400.

Harpocrat. p. 27, 1, Ἀποδέκται : ἀρχή τις ἐστὶ παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί.

** 401.

Photius, Lex. p. 383, 2, Παράδεισος : τὸ ἐνεστώς. σημαίνει δὲ οἷον τὸ ἐμπεριπατεῖσθαι* τεθειμένως διὰ τὴν ἀναισθησίαν. ὁ γὰρ παράδεισος ἐπὶ τοῦ περιπάτου δένδρα καὶ ὕδατα ἔχοντος. καὶ χρῶνται συνεχῶς οἱ κωμικοὶ τιθέντες τὸν παράδεισον ἐπὶ τῶν ἀναισθήτων. De quibus Meinek. : « Hoc dicit : nomine παράδεισος significari hominem cui propter stuporem impune insultatur. Corrigendum enim videtur σημαίνει οἷον τῷ ἐμπεριπατεῖσθαι ἐκτεθειμένον vel simili quodam modo. Nam quum παράδεισος idem sit quod περίπατος, *ambulacrum*, factum est ut comici poetæ eo nomine uterentur de homine, cui quivis *inambularet*. De hoc verbi ἐμπεριπατεῖν significatione v. Wyttenb. ad Plut. Mor. p. 57, B. »

** 402.

Varro, Satira 32, p. 128 ed. OEhler., ex Nonio v. Subducere : *Ego unus scilicet antiquorum hominum subductis superciliis dicam*, Γαμήσεις νοῦν ἔχων; Sic Meinek.; codd. ταμησιονουν ἔχων. Similes sententias alibi vidimus non raro.

403.

Pollux, 2, 108 : Γλωττογάστορας παρὰ τοῖς κωμικοῖς οἱ ἀπὸ τῆς γλώττης βιοῦντες. Sic Aristoph. Av. 1702.

404.

Idem, 3, 56 : τὸν δὲ τοιοῦτον (τὸν παρεγγεγραμμένον πολίτην) καὶ ὑπόξυλον ὠνόμαζον οἱ νέοι κωμικοί. καὶ ὑπόχυτον δὲ οἱ παλαιότεροι τὸν κακῶς γεγονότα, καὶ παρεμπεπολημένον, ὡς ἀποφύλιον, τὸν φυλὴν μὴ ἔχοντα. Libri καὶ παρημπολημένον, quod probat Meinek., « nisi forte, quum unus codex habeat παρεμπολιμένον, scribendum sit παρεμπεπολισμένον. »

405.

Idem, 5, 93 : τὰ τεθρυλημένα, ἃ δὴ παίζουσιν οἱ κωμικοί, ληκεῖν, δρυμάττειν, φλᾶν, σκορδοῦν. Hesychius, Δρυμάξεις :... χρῶνται καὶ ἐπὶ τοῦ συνέσῃ καὶ προσομιλήσεις.

406.

Idem, ibid. 97, de inauribus dicens : ἐκαλεῖτο δὲ παρὰ τοῖς κωμῳδοῖς καὶ ἐγκλαστρίδια, καὶ στροβίλια, καὶ βοτρύδια, καὶ πλάστρα, καὶ καρυάτιδες, καὶ ἱπποκάμπια, καὶ κενταυρίδες, καὶ ἔνστροφον, καὶ τρίπους. Quorum nonnulla ex Pherecratis Λήροις derivata esse observat Meinek.

407.

Idem, 7, 69 : τὸ δὲ ἄκναπτον ἱμάτιον ὀρεινὸν οἱ μέσοι κωμικοί, ὥσπερ εἰργασμένον τὸ ἐγναμμένον. « Immo ὠργασμένον », inquit Meinek., ὀρεινὸν quoque vitiosum esse annotans.

408.

Eustath. ad Hom. p. 971, 39 : Τηθαλλαδοῦς καὶ σκῶμμα εὐηθείας ἔχει, ὡς τῶν ὑπὸ τοιαύταις (ταῖς τηθαῖς) τεθραμμένων εἰς εὐήθειαν ἐπιδιδόντων διὰ τὸ ἀνειμένον τῆς τροφῆς. διὸ καὶ ὁ εἰπὼν ἐρωτηματικῶς τὸ

Ὀκνεῖς λαλεῖν; οὕτω σφόδρ' εἶ τηθαλλαδοῦς;

ὀνειδίζων κέχρηται τῇ λέξει... οἷον γραοτρεφῆ.

409.

Idem, p. 1761, 27 : λαπίζειν παρὰ Σοφοκλεῖ τὸ συρίζειν, καὶ βαυβᾶν τὸ κοιμᾶσθαι, ὡς

— Ἡ δὲ προὐκαλεῖτό με
βαυβᾶν μετ' αὐτῆς.

*410.

Idem p. 1522, 56 : καὶ ὦτοι δὲ οἱ αὐτοὶ (οἱ εὐήθεις) ἀπὸ ὀρνέου μιμηλοῦ καὶ εὐεξαπατήτου, ὡς ἀλλαχοῦ σαφῶς δηλοῦται. διὸ καὶ ἡ κωμῳδία σκώπτουσα τοὺς Ἀθηναίους,

Ὦ μόνοι ὦτοι τῶν Ἑλλήνων,

399.

Megarenses fuge omnes : sunt enim mordaces.

402.

— Uxoremne duces, quum sis mente sanus?

408.

Timesne loqui? adeo es vetulæ alumnus?

409.

— Hæc vero me provocabat
ut cubarem cum ipsa.

410.

O soli stulti et creduli Græcorum.

ἔφη, λοιδοροῦσα ἐκείνους ὡς ῥᾷον ἀπατωμένους οἷς ἀκούουσι. Athenæus 9, p. 390, F : ἀνθρωποειδὴς δέ ἐστιν (ὁ ὦτος) τὴν μορφὴν, καὶ πάντων μιμητὴς ὅσα ἂν ἄνθρωπος ποιῇ· διόπερ καὶ τοὺς ἐξαπατωμένους ῥᾳδίως ἐκ τοῦ τυχόντος οἱ κωμικοὶ ὤτους καλοῦσιν.

*411.

Schol. Aristoph. Eq. 1304 : κεραμεὺς δὲ ὁ Ὑπέρβολος. μετὰ δὲ τὴν ἀποβολὴν τοῦ Κλέωνος εὐθέως ὑπερέβαλεν ὑπὲρ τοῦ Ὑπερβόλου. Quæ sic restituit Meinek. in Hist. crit. Com. p. 190 :

Μετὰ τὴν ἀποβολὴν τοῦ Κλέωνος εὐθέως
(μέγ') ὑπερέβαλεν ὁ κεραμεὺς Ὑπέρβολος.

412.

Schol. Eurip. Orest. 730 :

Οὐκ ἐκεῖνος, ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν : κωμῳδεῖται ὁ στίχος διὰ τὴν ταυτότητα.

413.

Aristot. Auscult. phys. 2, 2 : διὸ καὶ ὁ ποιητὴς γελοίως προήχθη εἰπεῖν

Ἔχει τελευτὴν, ἧσπερ οὕνεκ' ἐγένετο.

414.

Polybius, 31, 21 : γενομένων δὲ πάντων κατὰ τὸ συνταχθὲν, λαβὼν ὁ Δημήτριος ἐπανέγνω. τὸ δὲ πιττάκιον περιεῖχε τὰς γνώμας ταύτας·

Ὁ δρῶν τὰ τοῦ μέλλοντος οἴχεται φέρων.

415.

Idem, ib. :

Ἴσον φέρει νὺξ, τοῖς δὲ τολμῶσιν πλέον.

416.

Idem, ib. :

Τόλμα τι, κινδύνευε, πρᾶττ', ἀποτύγχανε,
ἐπίτυχε· πάντα μᾶλλον ἢ σαυτὸν πρόου.

** 417.

Plutarchus, De amico et adul. p. 54, B : οὕτως ἄπειρος ἦν κόλακος ὁ νομίζων τὰ ἰαμβεῖα ταυτὶ τῷ καρκίνῳ μᾶλλον ἢ τῷ κόλακι (sic Meinek. correxit librariorum sphalma τῷ κόλακι μᾶλλον ἢ τῷ καρκίνῳ) προσήκειν,

Γαστὴρ ὅλον τὸ σῶμα, πανταχῇ βλέπων
ὀφθαλμὸς, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

418.

Schol. Aristoph. Plut. 204 : καί τις τῶν κωμικῶν φησί·

α. Τί ποτ' ἐστὶ χλωρὸν, ἀντιβολῶ, τὸ χρυσίον ;
β. Δέδοικ' ἐπιβουλευόμενον ὑπὸ πάντων ἀεί.

πρόχλωρον γὰρ δοκεῖ εἶναι. Respicit Eustath. ad Il. p. 812, 56. Diogenis dictum est ap. Diog. L. 6, 56 : ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, Ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας.

419.

Schol. Æschyli Pers. 933 : αὐλοὶ γάρ εἰσι Μαριανδυνοὶ ἐπιτηδειότατοι εἰς θρηνῳδίας. ὅθεν καὶ τὸ περιφερόμενον

Αὐλεῖ Μαριανδυνοῖς καλάμοις (θρηνῳδίαν)
κρούων ἰαστί.

Sic versum integravit Meinek., qui comici poetæ esse putat.

420.

Joannes Siceliota in Walzii Rhett. vol. 6, p. 338, ut ἐπαναδιπλώσεως exemplum affert,

Βαρὺς σύνοικος, ὦ φίλοι, βαρύς.

Eandem minus plene Apollonius De synt. p. 4, 15, sic βαρὺς βαρὺς σύνοικος, post illa : Μῶσ' ἄγε, Μῶσα λίγεια.

421.

Pollux, 2, 109 : οἱ δὲ κωμικοὶ καταγλωττίζειν ἐν φιλήματι, καὶ καταγλωττισμὸς, καὶ ἐπιγλωττωμένων οἷον λοιδορουμένων, καὶ παλίγγλωσσον

311.

Post depositionem Cleonis statim
hunc (maxime) superavit *scelere* figulus Hyperbolus.

413.

Habet finem, propter quem natus est.

414.

Agendo gnavus cunctatori spes suas præripit.

415.

Æque utrisque commoda fert nox, sed audentibus [majora.

416.

Aude aliquid, periclitare, age, cœptis excide,
utere successu ; omnia prius, quam te, deseras.

417.

Totum corpus est venter, in omnes partes spectans
oculus, animal dentibus *quasi pedibus* incedens.

418.

a. Quî tandem, obsecro te, pallidum est aurum?
b. Metuit, quia ab omnibus semper ei struuntur in- [sidiæ.

419.

Modulatur Mariandynis calamis (næniam)
psallens Ionice.

420.

Gravis contubernalis, o amici, gravis.

τὸν δύσφημον, καὶ οὐκ ἐπιγλωττήσομαι ἤγουν οὐ λοιδορήσομαι.

422.

Poll., 2, 168 : καὶ ὑπεγάστριζε τὸ ἐχόρταζεν ἡ κωμῳδία.

423.

Ib. 184 : λισπόπυγοι, ἐφ' ᾧ μάλιστα Ἀθηναῖοι κωμῳδοῦνται.

424.

Idem. 3, 74 : φαυλοτάτη δὲ καὶ ἡ παρὰ τοῖς νέοις κωμῳδοῖς ἀπφία καὶ ἀπφίον καὶ ἀπφάριον, νέας δεσποίνης ὑποκορίσματα.

425.

Idem 6, 189 : μισητὸν μέντοι τὸν τοιοῦτον οἱ κωμικοὶ καλοῦσι, καὶ μισητὴν τὴν μάχλον.

426.

Idem, 7, 8 : ἐν δὲ τῇ κωμῳδίᾳ ὁ πώλης ὥσπερ καὶ ὁ πρατίας εἴρηται.

427.

Idem, 10, 22 : Ποσείδιππος... φησὶ... παρὰ δὲ τοῖς νεωτέροις τούτοις καὶ ἀντίκλειδες εἴρηνται, παρὰ δὲ Ἀριστοφάνει ... κατάκλειδες.

428.

Ibid. 39 : τὰ μὲν οὖν τυλεῖα καὶ τὰ κνέφαλλα οὐ μόνον παρὰ τοῖς κωμῳδοῖς ἐστιν.

429.

Ib. 96 : τὰ... δημιόπρατα οὐ μόνον τοὔνομα παρ' Ἀριστοφάνει ... ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις κωμῳδοδιδασκάλοις.

430.

Ib. 127 : καὶ πτερὸν δὲ τὸ σκιάδιον οἱ κωμῳδοποιοὶ καλοῦσιν.

OMISSA

IN

MENANDRI ET PHILEMONIS

FRAGMENTIS.

ΑΛΙΕΙΣ.

Pag. 4 adde : Suidas, Ἀναπετῶ : ἀναπετάσω. Μένανδρος Ἀλιεῦσιν (sic Kuster.; vulgo ἄλλοις),

[17] Ἀναπετῶ τουτὶ προσελθὼν, κοὐκ ἀνέξομ' οὐκέτι·

Τουτὶ, scil. τὸ θυρίον, ut annotat Dobræus. Dele fragm. inc. 190, p. 73.

ΑΡΡΗΦΟΡΟΣ Ἢ ΑΥΛΗΤΡΙΣ.

Pag. 8 adde : Orion Gnomol. 1, 11, cum lemmate ἐξ Ἀρρηφόρου Μενάνδρου.

[9] Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

Exstat versus in Monost. 26, et in Append. Flor. Stobæi p. 69, 23.

ΓΕΩΡΓΟΣ.

Fragmento 3, p. 10, addendos esse duos postremos versus Incertorum fr. 25, p. 58, jam constat ex Orionis Gnomologio VII, 9, ex quo correctus versus 2 :

[3] Οὗτος κράτιστός ἐστ' ἀνὴρ, ὦ Γοργία,
ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίστατ' ἐγκρατῶς·
τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν
δεῖγμ' ἐστιν εὐθὺς πᾶσι μικροψυχίας.

Pag. 11 adde : Orion Gnomol. I, 19.

[10] Εἰμὶ μὲν ἄγροικος, κἀυτὸς οὐκ ἄλλως ἐρῶ,
καὶ τῶν κατ' ἄστυ πραγμάτων οὐ παντελῶς
ἔμπειρος, ὁ δὲ χρόνος τί μ' εἰδέναι ποιεῖ πλέον.

ΔΙΣ ΕΞΑΠΑΤΩΝ.

Ex hac fabula expressas esse Plauti *Bacchides* perquam probabile reddidit Ritschelius Parerg. Plantin. I, p. 405 seqq.

ΔΥΣΚΟΛΟΣ.

Pag. 15 adde : Schol. Eurip. Androm. 957, a Cobeto editus p. 291 : τὸ δὲ κατὰ φυσικὴν ἀνάγκην δοῦλον, ὡς καὶ ἐν Δυσκόλῳ φησὶ Μένανδρος,

—[11] Οὐκ ἔνεστί σοι φυγεῖν
οἰκειότητα, δᾶερ.

Sic cod. Venet.; οὐκ ἔνεστ' ἴσως οἰκεῖν δάει. Vat.

Antiatticista p. 82, 11, [12] Ἀνδριάς : καὶ ἐπὶ γραφῇ Πλάτων Πολιτείᾳ, Μένανδρος Δυσκόλῳ.

ΕΠΙΚΛΗΡΟΣ.

Adde p. 17 Apsinen in *Notices et Extraits des Mss* vol. XIV, p. 188 : ὅτι μὲν παρασκευάσαι δεῖ,

---

PISCATORES.

17.

Accedam et patefaciam hanc *januam*, nec tolerabo [diutitus.

ARREPHORUS sive TIBICINA.

9.

Viri indoles ex sermone ejus cognoscitur.

AGRICOLA.

10.

Agricola quidem sum, neque ipse aliter dico,
et urbanarum rerum non optime
peritus; sed tempus me ut plus aliquid sciam
efficit.

MOROSUS.

11

— Non licet tibi effugere
affinitatem, levir.

12.

Pictura.

τότε παρασκευάσαιμι· ἐὰν δὲ ὦσι παρεσκευασμένοι, περιττὸν προοιμιάζεσθαι. τοῦτο καὶ Μένανδρον εἰδέναι· ἐν γὰρ τῇ Ἐπικλήρῳ δικαζομένων τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικὸς, καὶ τοῦ παιδίου δικάζοντος, οὐκ ἔθηκεν οὐδετέρῳ προοίμιον, διὰ τὸ τὴν εὔνοιαν προϋπάρχειν τοῦ ἀνδρός. ὁμοίως δὲ κἂν πρὸς τὴν γυναῖκα τὴν ἰδίαν διαλεγώμεθα.

ΕΠΙΤΡΕΠΟΝΤΕΣ.

Adde p. 17 Apsines ibidem : καὶ Μένανδρος ἐν τοῖς Ἐπιτρέπουσι τὴν δίκην ἄνευ προοιμίων πεποίηκεν· οὐδὲν δὲ διαφέρει ἢ ἐνταῦθα οὕτως αὐτὰ κεῖσθαι, ἢ ἐν δικαστηρίοις λέγεσθαι.

Pag. 18 adde : Orion Gnomolog. VI, 4.

[10] Μὴ καταφρονήσῃς τῶν θεῶν· ἐν παντὶ δεῖ
καιρῷ τὸ δίκαιον ἐπικρατεῖν ἁπανταχοῦ,
καὶ τὸν παρατυγχάνοντα τούτου τοῦ μέρους
ἔχειν πρόνοιαν κοινόν ἐστι τῷ βίῳ.

V. 1 τῶν et v. 3 τοῦ addidit Schneidewin. Verba ἐν παντὶ δεῖ καιρῷ τὸ δ. ἐπ. servavit etiam Stob. Flor. IX, 12 (fr. inc. 283).

Idem, VII, 8, cum lemmate ἐκ τῶν ἀποτρεπόντων.

[11] Οὐδὲν πέπονθας δεινὸν, ἂν μὴ προσποιῇ.

Conf. Monost. ex Aldo 52. Versum servarunt etiam Lucian. Jove trag. c. 53 et Stob. Flor. CVIII, 57.

ΗΝΙΟΧΟΣ.

Pag. 20 adde : Orion Gnomol. VI, 1, in titulo περὶ προνοίας, cum lemm. ἐκ τοῦ Ἡνιόχου Μενάνδρου.

[6] Ἀλλὰ θεὸς οὐδεὶς εἰς τὸ προκόλπιον φέρει
ἀργύριον, ἀλλ' ἔδωκεν εὔνους γενόμενος
* πόρον, εἰσβολήν τ' ἔδειξεν εὐπορίας τινά·
ἣν ἂν παρίῃς, μηκέτ' αἰτιῶ θεὸν,
ἤδη δὲ τῇ σαυτοῦ ζυγομάχει μαλακίᾳ.

Versu 1 Meinek. τὸ pro τόν. V. 3 editur πόρον τῆς βουλὴν ἔδ. εὐπ. τινός, quæ sic correxit Dübnerus, præterea verba ἔδωκεν et ἔδειξεν sedes inter se commutavisse ratus. Meinek. πρόφασιν ὁδόν τ' ἔδειξεν εὐπ. τινὰ, qui sententiam recte explicuit. V. 4 cod. παρῇς μηκέτι τὸν θεὸν αἰτῶ, quæ correxit Schneidewin. V. 5 cod. μαλθακίᾳ.

Idem, Orion VII, 6, in tit. περὶ ἀρετῆς.

[7] Ἐλεεῖν δ' ἐκεῖνος ἔμαθεν εὐτυχῶν μόνος.
Ὁ χρηστὸς, ὡς ἔοικε, καὶ χρηστοὺς ποιεῖ.
Μί' ἐστὶν ἀρετὴ, τὸν ἄτοπον φεύγειν ἀεί.

Tria diversi loci fragmenta esse recte dixit Meinek. Versus alter habetur in Boissonadii Monost. p. 104, lin. 3; tertius in Monost. v. 339, p. 96, ubi τἄτοπον. Noli cum Schneidewino et Bothio conjungere ἐκεῖνος, ὁ χρηστός. Dübnerus conjiciebat Ἐλεεῖν δ' ὁ κοινὸς etc., humanus et æquus omnibus, communis.

ΘΗΣΑΥΡΟΣ.

Pag. 23 fragmento 1 præmitte :

[1] Εἶτ' οὐ μέγιστός ἐστι τῶν θεῶν Ἔρως
καὶ τιμιώτατός γε τῶν πάντων πολύ;
οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
ἄνθρωπος, οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους,
ὃς οὐχὶ τούτῳ μερίδα τῷ θεῷ νέμει
τῆς οὐσίας· ὅσοις μὲν οὖν, etc.

Versus hi apud Stobæum n. 13 Alexidis fragm. inc. 38 adhærebant, quos egregie vidit Tyrwhittus Menandreis esse conjungendos. V. 1 εἶτ' οὐ Ar-

---

ARBITRUM CAPIENTES.

10.

Ne contemnas deos : omni
tempore justitia debet vincere ubique;
et eum, qui in tali re forte versatur, huic parti
prospicere commune omnibus est in vita agenda.

11.

Nihil mali es passus, nisi præ te feras.

AURIGA.

6.

At deus nullus in sinu fert
argentum, sed si benevolus est, monstrat
adipiscendi viam, et accessum aliquem præbet ad [vitam beatam :
quem si neglexeris, noli jam accusare deum,
sed cum insita tibi ignavia depugna.

7.

Solus qui natura humanus est, in felicitate misereri [didicit.
Homo probus, ut consentaneum est, etiam probos [efficit.

THESAURUS.

1.

Deûm profecto maximus longe est Amor,
Dignusque ante alios quem tu perpetim colas.
Nam nemo est adeo parca parsimonia,
Adeove duris aut severis moribus,
Qui non suorum tribuat huic partem deo
Bonorum. Ille igitur quîs adspirat propitius,
Hos, juvenes dum sunt, sua tributa postulat.

Gr. corr.

senius Viol. p. 101, et conjecerant Valckenarius Jacobsiusque. Nostri libri Stobæani εἶτ' οὖν.

ΚΑΝΗΦΟΡΟΣ.

In fine, pag. 26, adde versum quem Harpocratio respexit, a Grammat. Bekkeri An. p. 353 fin. servatum : φησὶ γὰρ ὁ κωμικὸς

[5] Γραῦς τις κακολόγος ἐκ δυοῖν Αἰξωνέοιν.

Explicuit Bergkius Commentt. p. 84.

ΚΟΤΤΑΒΙΖΟΥΣΑΣ.

p. 30 nunc delet Meinek., quia Orion in Gnomol. I, 18 his versibus præponit ἐκ τῶν Κωνεαζομένων, quod latet etiam in scriptura optimi codicis Stob. Refer fragmentum ad Κωνειαζομένας.

ΚΥΒΕΡΝΗΤΑΙ.

Fragmentum 2, p. 80, sic integrandum ex Orione Gnomol. VIII, 9 (ubi lemma ἐκ τῶν Κυβερνητῶν) et Plutarcho De animi tranquill. p. 471 :

[2] Οἷοι λαλοῦσιν ὄντες οἱ τρισάθλιοι
ἅπαντες οἱ φυσῶντες ἐφ' ἑαυτοῖς μέγα!
αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπων φύσιν.
Οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται,
ἐπὰν δ' ἀνοίξῃ τὰς θύρας, τρισάθλιος·
γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχετ' ἀεί·
ἀπὸ πλειόνων ὀδυνᾶτ', ἐγὼ δ' ἀπ' οὐδενός.

V. 1 λαλοῦσιν Meinek. pro λαλοῦμεν. V. 4-6 habent idem Plutarchus De virt. et vit. p. 100, E et Themist. p. 357, D. Versu 3 Orion οὗτοι pro αὐτοί, et v. 4 ἀγοραῖς, omissis duobus postremis ex Plutarcho suppletis.

ΜΙΣΟΥΜΕΝΟΣ.

Adde ad fragm. 6, pag. 35, alium locum ad idem colloquium militis cum Geta relatum a Meinekio, ex Hermia In Platonis Phædr. p. 76 (correctum a Bekkero ex cod. D) : οἱ μὲν γὰρ ὑπέλαβον ἁπλῶς φαῦλον τὸ ἐρᾶν, ὡς Ἐπίκουρος, ὁρισάμενος αὐτὸν (τὸν ἔρωτα) σύντονον ὄρεξιν ἀφροδισίων μετὰ οἴστρου καὶ ἀδημονίας, καὶ ὁ εἰπὼν

Πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται κύπρις,

καὶ

— Οὐπώποτ' ἠράσθης, Γέτα;
Γ. Οὐ γὰρ ἐνεπλήσθην,

φησίν. Quæ quin recte ad hanc fabulam retulerit vir eximius, dubitari nequit.

Idem fragmento 9 vocabula Ὦ δυστυχής præmittenda observavit, indicio grammatici Bekkeriani p. 1190 (fr. incert. 456).

ΠΛΟΚΙΟΝ.

Pag. 43 adde : Orion Gnomol. VIII, 5.

[12] Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενός.

Exstat inter Monost. 419.

Scholiastes Hippocratis editus a Darembergio *Notices et Extraits de Mss. médicaux*, I, p. 205 : Ὀδαξυσμοί (sic) ἢ ἀδαξυσμοί (sic)· ἐν τισι γὰρ τῶν ἀντιγράφων οὕτως εὕρομεν· εἰσὶ γὰρ κνησμοὶ μετ' ἐρεθισμοῦ, ὡς καὶ Μένανδρος ἐν Πλοκίῳ (sic) φησὶν [13] « τὸ μὴ (vel τομῇ) τὰς τρίχας αἴρων καὶ τὸν ῥύπον διδοὺς πιεῖν ἀνεδέξατο (ἀνηδαξᾶτο Daremberg.) ὥστε μὴ πιεῖν. Quæ Dübnerus heri verba esse putat, qui urbanam vitam cum rustica commutaverat (ut ex fragmento 6 intelligitur), de fœda rusticitate famuli querentis :

. . . . διὰ τὸν ῥύπον διδοὺς
πιεῖν ἂν ἠδαξᾶτ', [ἔμ'] ὥστε μὴ πιεῖν.

Prima Schneidewinus scribebat : ὁ δὲ μεστὰς [τὰς] τρίχας | ἐρίων διὰ τὸν ῥ. etc.; Eggerus τρίχας σαίρων.

ΠΩΛΟΥΜΕΝΟΙ.

Pag. 43 adde : Anonymus ap. Cramer. Anecd. Oxon. vol. IV, p. 310, 24 : μέμνηται τοῦ ὀνόματος (scil. [5] γραμματικὸς) Μένανδρος ἐν Πωλουμένοις.

CANISTRUM FERENS.

5.

Mulier aliqua maledica ex patre et matre Æxonensibus.

GUBERNATORES.

2.

Quales sunt, qui blaterant, illi miserrimi
omnes, sui fiducia magnum spirantes!
ipsi enim ignorant hominum naturam.
Beatus hic in foro existimatur,
sed ubi fores aperuerit, miserrimus *est* :
uxor gubernat omnia, imperat, litigat usque;
hic a pluribus dolet, ego vero ab re nulla.

ODIOSUS.

6. b.

— An nunquam amasti, Geta?
G. Neque enim unquam repletus fui.

MONILE.

13.

.... ob sordes ille, ubi dabat mihi
bibere, scabere se solebat, ita ego non biberem.

ΡΑΠΙΖΟΜΕΝΗ.

Pag. 44 adde : Orion Gnomol. I, 15, cum lemmate ἐκ Ῥαπιζομένου Μενάνδρου.

[11] Ἆρ' ἐστὶν ἀγαθῶν πᾶσι πλείστων ἀξία
ἡ σύνεσις, ἂν ᾖ πρὸς τὰ βελτίω σοφή.

Sine nomine fabulæ legebatur ap. Stob. Flor. III, 7, ubi male ἀγαθῶν παμπλείστων, sed recte fortasse αἰτία (fr. inc. 70, ubi habes latina).

ΣΤΡΑΤΙΩΤΑΙ.

Pag. 45 adde : Orion Gnomol. I, 17, ἐκ τῶν Στρατιωτῶν Μενάνδρου.

[2] Ὁρῶν τι βούλευσαι κατὰ σαυτὸν γενόμενος·
τὸ συμφέρον γὰρ οὐχ ὁρᾶται τῷ βοᾶν,
ἐν τῷ πρὸς αὑτὸν δ' ἀναλογισμῷ φαίνεται.

ΥΜΝΙΣ.

Pag. 48 adde : Grammat. Bachmanni Anecd. vol. 1, p. 357, [9] Πόσθων : ὁ παιδαριώδης καὶ ἀναγωγός Μέν. ἐν Ὑμνίδι. Photius, Πόσθων : δηλοῖ δὲ καὶ τὸν παιδαριώδη καὶ ἄφρονα κατὰ μεταφοράν.

ΧΗΡΑ.

Pag. 51 adde [5] Δὶς παῖδες οἱ γέροντες, quo proverbio usum esse Μένανδρον Χήρᾳ testatatur Schol. Platonis p. 227 ed. Turic.

INCERTARUM FABULARUM FRAGMENTA.

16.

Schol. Eurip. Phœn. 61 : πῶς δέ, φησίν, Ἰοκάστη μετὰ τοσαῦτα δυστυχήματα ἔζη; ῥητέον ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλόν. Μένανδρος (sic nunc ex cod. Veneto Cobetus p. 266)·

— Ὀκνεῖ δὲ νοῦν ἔχουσ' ἴσως,
ἀεὶ δὲ τοῖς παροῦσι δακρύοις ἐμποιεῖ
τὸ θῆλυ τῆς ψυχῆς ἀναβολὴν τῷ πάθει.

V. 1 sic cod. Vat. et optimus Parisinus; νουνεχῶς Ven.

36.

Adde ex eodem Palladio post μάχη,

πλείονα κακουργεῖ, πλεῖον' οἶδ', αἰσχύνεται
οὐδέν, κολακεύει μᾶλλον.

Sic Dobræus. Edebatur πλείονα οἶδεν, πλείονα κακουργεῖ, αἰσχύνεται οὐδένα, κ. μ.

70.

In hujus fragmenti locum, quod Ῥαπιζομένης est, substitue Volum. Hercul. ed. Oxon. I, p. 74: κακῶς γὰρ ἀκούων καὶ πάσχων ὅστις οὐκ ὀργίζεται πονηρίας πλείστης τεκμήριον φέρει, κατὰ τὸν Μένανδρον Quæ ita digessit Dobræus :

Κακῶς ἀκούων ὅστις οὐκ ὀργίζεται,
πονηρίας πλείστης τεκμήριον φέρει.

153.

Fragmentum ex Parisino cod. auctum sic digessit H. Jacobi :

Μέλλων τι πράττειν μὴ προείπῃς μηδενί·
τὰ γάρ τισιν λεχθέντα καὶ μὴ γενόμενα
εἴωθε πλείστην μεταμέλειαν εἰσφέρειν·
μόνη σιωπὴ μεταμέλειαν οὐ φέρει.

190.

In locum hujus fragm., ad Ἁλιεῖς relati, substitue Boisson. Anecd. I, p. 124, Μενάνδρου.

Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.

Quem versum Antiphani tribuit Stobæus.

218.

Hoc fragmentum Meinekius nunc ita integravit ex schol. Aristidis p. 69 Fromm., 301 Dind. :

Ἡ δ' εὐπάτειρα φιλόγελώς τε παρθένος
Νίκη μεθ' ἡμῶν εὐμενὴς ἕποιτ' ἀεί.

259.

Idem huic fragmento, quod Euripidis est, substituit Stob. Flor. LXXIII, 46.

Φύσει γυνὴ δυσάνιόν ἐστι καὶ πικρόν.

Ex Menandro vocem δυσάνιος memorat Harpocr. p. 64, 2.

MILITES.

2.

Dispiciens aliquid delibera solus :
nam quod utile est, non dispicitur clamando,
sed tacita tecum reputatione in lucem profertur.

INCERTARUM FABULARUM FRAGMENTA.

16.

— Cunctatur autem, forsitan prudens :
ceterum semper lacrimis paratis affert
dilationem morti muliebris animi indoles.

36.

Plura committit scelera, plura novit, nihil eam pudet, magis adulatur.

70.

Male audiens quisquis haud irascitur,
is maximæ pravitatis fert specimen.

190.

Nulla eget lege qui non facit injuriam.

259.

Naturâ mulier infrenis est et iracunda.

316.

Fragmento subjice, « ἤδη [δ'] εἰμὶ σῶς. » Vide infra fr. 479, p. 89.

587.

Menandri est, non σπαρτοπώλιον, sed « σπαρτόπωλις ὠμόγραυς », ex correctione Lobeckii Paralip. p. 227 pro ὁμογραῦς.

490. 491.

Anonymus in Crameri Anecd. Paris. IV, p. 418: ὡς δηλοῖ τὸ ἐκ παίδων φιλομύθους ἡμᾶς εἶναι καὶ χαίρειν ἐν (ἐπὶ Meinek.) τῇ περιεργίᾳ, ὥς φησι Μέν.

Φιλῶ σ', Ὀνήσιμε· καὶ σὺ [γὰρ] περίεργος εἶ.

καὶ πάλιν,

Οὐδὲν γλυκύτερον ἢ πάντ' εἰδέναι.

Sic hic versus legitur ap. Cic. Ad Att. IV, 11. Cod. Par. οὐδὲν γὰρ γλ. Themistius Or. XXI, p. 262, C: οὐκ ἔστι γὰρ (φασὶ) γλυκύτερον ἢ πάντ' εἰδέναι, et sic scribit Mein., qui γὰρ priori versui inseruit.

492.

Arsenius Viol. p. 507: Μένανδρος τὸν φθόνον « πρόνοιαν τῆς ψυχῆς » εἶπεν. « Arsenium inspicere non licet, ubi τὸν φόβον scriptum scribendumve existimo. » *Dübner.*

493.

Epimerismi Hom. ap. Cramer. Anecd. Oxon. I, p. 102: τὸ παρὰ μιμηέρμω (sic cod.; Cram. Μιμνέρμῳ, Meinekius Μενάνδρῳ)

Ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαὶ νῷν αἱ γυναί.

Conf. Aristoph. Eq. 1390.

494.

Eodem modo vir doctissimus corrigit lemma ap. Stob. CII, 3, Μιμνέρμου Νάννου, in quo jam Porsonus de Menandro cogitaverat, et in Νάννου fabulæ indicem Φανίου latere putat.

— Οἷα δὴ φιλοῦσιν ἰατροὶ λέγειν
τὰ φαῦλα μείζω καὶ τὰ δείν' ὑπέρφοβα,
πυργοῦντες αὐτούς.

495.

Schol. Eurip. Rhes. 248 (p. 296 Cob.): καὶ Μέν.

Εἰ μὴ γαμεῖς γάρ, ἔσχατον νόμιζέ με
Μυσῶν.

496.

Append. Vat. Proverb. II, 71: τὸν Θίμβιν Μένανδρος συνεχῶς Τίβιον ὀνομάζει.

497.

Syrianus in Walzii Rhett. IV, p. 98: διττὸν τὸ τῆς διαβολῆς ὄνομα· ἐπί τε γὰρ τῆς διαβολῆς αὐτῆς τάττεται, ὡς παρὰ Μενάνδρῳ

— Οὐκ ἔστιν οὔτε διάβολος
γραῦς ἔνδον,

καὶ ἐπὶ τῆς κατηγορίας.

498.

Cod. Marcianus ap. Bekker. ad Harpocr. p. 13: Ἀλεκτρυὼν ἐπὶ θήλεος καὶ ἄρρενος λέγεται· καὶ Μένανδρος « Τὴν ἀλεκτρυόνα μοι δοὺς ᾤχετο, » in quibus « fortasse μοι delendum. » *Mein.*

499.

Idem, p. 14: Ἀμβλυώττειν ἀττικῶς τὸ μὴ σφόδρα ὁρᾶν· γράφεται δὲ κοινῶς ἀμβλυωπεῖν, ὡς Μένανδρος « ἀμβλυωπούντων ἀνδρῶν. »

500.

Idem, p. 25: « Ἀπονυχίζειν » τὸ ἀφαιρεῖν τὰς ὑπεραυξήσεις τῶν ὀνύχων παρὰ Μενάνδρῳ.

501.

Schol. Dionysii Per. 311: Βορυσθένης ποταμὸς περὶ τὸν Πόντον· ὅθεν οἱ Ποντικοὶ Βορυσθενῖται, ὡς Μέν. λέγει

— Διεμέριζε γὰρ
ὁ Βορυσθενίτης.

490.
Amo te, Onesime; namque es sedulus.

491.
Nihil est dulcius quam scire omnia.

492.
Invidia [timor?] *est* providentia animi.

493.
O Juppiter honoratissime, quam pulchræ sunt mulieres nostræ!

494.
— Quemadmodum videlicet medici solent
mala dicere pejora et pericula metum omnem excedentia,
efferentes sese.

495.
Nisi enim uxorem ducis, ultimum me puta
Mysorum.

497.
— Non est intus neque calumniatrix
anus, neque. .

498.
Gallinâ mihi datâ cito abiit.

501.
— Divisit enim
Borysthenita.

502.

Suidas, Ἀνάριστος : μᾶλλον δὲ ἀναρίστητος. .... Μένανδρος δὲ « ἀνάριστον ».

503.

Photius, « Ὀλολύττουσιν » : οὐχὶ ὀλολύζουσιν. Μέν.

504.

Gregorius Naz. Apolog. p. 14 ed. Bas. : οὐδὲν γὰρ οὕτως ἡδὺ τοῖς ἀνθρώποις ὡς τὸ λαλεῖν τἀλλότρια. Quæ ex Menandro petita esse annotavit Elias Cretensis. Porsonus :

Οὐδὲν γὰρ οὕτως ἐστὶν ἀνθρώποις γλυκὺ,
ὡς τοὐκλαλεῖν τἀλλότρια.

505.

Eunapii fragm. p. 99 ed. Bekk. : ὁ Στιλίχων οὐκ ἐφόνευσε τοὺς ἀνθρώπους, ἀλλὰ ζῆν αἰσχρῶς ἠνάγκαζε πάντα ἀφαιρούμενος, καὶ « πρὸς τὸ βαρύτατον, » ὡς ἔφη Μένανδρος (sic Bekkerus pro ὡς φαμὲν ἀνδρός) τὴν πενίαν, « θηρίον καὶ ... » Meinek. θηρίον διαπαλαίειν.

506.

Schol. Æschinis C. Ctesiph. p. 257 Bekk. : σύνταγμα οἱονεὶ πλῆθος χρημάτων. λέγεται δὲ καὶ ἀλλαχοῦ τὸ σύνταγμα καὶ ἐπὶ τοῦ τάγματος τῶν στρατιωτῶν. ὅθεν καὶ παρὰ Μενάνδρῳ ἀνέγνωμεν τὸ « σύνταγμα τῆς ἀρχῆς. »

507.

Idem ad F. Legat. § 179 : δοκοῦσιν αἱ γυναῖκες πικραὶ σφόδρα εἶναι περὶ τὸ ὀργίζεσθαι. διὸ καὶ ὁ Μέν. φησι

— Φιλόνεικος δ' ἐστὶ, Σιμία, γυνὴ
εἰς μῆνιν.

Sic Meinekius; codex καὶ μία γυνή. Sauppius conjecit χαγρία γ.

508.

Proverbia Coislin. 40, p. 124 : ἣν (παροιμίαν, Ἀράβιος αὐλητής) μεταλλάξας Μέν. φησιν

Ἀράβιον ἐξεύρηκα σύμβουλον.

Vide Ἀνατιθεμένης fragm. 6, pag. 5.

509.

Cælius Aurelianus Morb. acut. III, 15 : *Comicus Menander, inducens senem irascentem, istius passionis* (**hydrophobiæ**) *imaginem vinolentis adscripsit, dicens « non posse bibere eos qui vinum usque ad vexationem potant. »*

510.

Proverbia Coisl. 253 : Ἤτοι κρίνον ἢ κολοκύντην : ἐπὶ τῶν ἀδήλων .... μέμνηται ταύτης Μένανδρος.

511.

Schol. Aristidis p. 205 Fromm. : ἀντὶ σπόρου καὶ Μένανδρος (usus est verbo καταβάλλειν)·

— Τὰ δ' ἄλλ' ἐάν τις καταβάλῃ.

Ad Γεωργοῦ fragm. 4 probabiliter refert Schneidewinus.

512.

Orion Theb. p. 23, 1 : ᾄδειν λέγεται καὶ ἐπὶ τοῦ τὰ αὐτὰ ἐπαναλαμβάνειν. Μέν.

— Ἡ πόλις
ὅλη γὰρ ᾄδει τὸ κακόν.

513.

Cod. Havniensis ap. Blochium ad Etym. M. p. 949, « Λήδιον » : τὸ τριβώνιον. Μέν.

514.

Michael Syngelus in Crameri Anecd. Ox. IV, p. 273 : γίνεται τὰ ὑποκορίσματα ... δι' ἀναγκαιότητα, ὡς ἐὰν ὃ αἰτῇ τις σμικρύνῃ, ἵνα μὴ μεγάλην ποιήσῃ τὴν χάριν· ᾧ κέχρηνται οἱ κωμικοί, ὡς ἔχει τὸ παρὰ Μενάνδρῳ « λεβήτιον ».

515.

Anonymus ibidem p. 412, 15 : ἑστιῶ σημαίνει τὸ ἀριστοποιῶ, ὡς παρὰ Μενάνδρῳ « Ἑστιᾶν (Ἑστιάσω Meinek.) τοὺς φίλους. »

516.

Idem p. 413, 3 : τὸ ἐρῶ ἐρᾷς, τουτέστι τὸ ἐρωτικῶς ἔχω, διὰ τοῦ η γίνεται κατὰ τὸ παρῳχημένον, οἷον « ἤραον ἤρων ἁρμολογῶ καὶ νῦν δ' ἐρῶ » παρὰ Μενάνδρῳ. Meineck. et Schneidewin. :

504.

Nihil enim tam jucundum est hominibus
quam effutire ab aliis concredita.

507.

Sed litigiosa est mulier, Simia,
ad iracundiam.

511.

At reliqua si quis severit ...

512.

— Urbs enim
universa hanc cantat calamitatem.

515.

Accipiam amicis.

— Ἥρων, ὁμολογῶ· καὶ νῦν δ' ἐρῶ.

In quibus illud non immerito offendit doctum virum Piccolo, quod syllabæ αρ ratio habeatur nulla. Quare talem olim fuisse hunc versum conjecit :

Ἥρων, [μέμην'] ἄρ'· ὁμολογῶ· καὶ νῦν δ' ἐρῶ.

517.

Galenus De natur. fac. I, 17, de medicis Erasistrateis et Asclepiadeis dicens : ὁμοίως τοῖς ὑπὸ τοῦ βελτίστου Μενάνδρου κατὰ τὰς κωμῳδίας εἰσαγομένοις οἰκέταις, Δάοις τισὶ καὶ Γέταις, οὐδὲν ἡγουμένοις σφίσι πεπρᾶχθαι γενναῖον, εἰ μὴ τρὶς ἐξαπατήσειαν τὸν δεσπότην.

518.

Hermogenes De ideis p. 117 Ald. = vol. III, p. 306 Rhetorum Walz., de ἀφελείᾳ disserens : καὶ τὰ πολλὰ τῶν βουκολικῶν τοιαῦτά ἐστι. καὶ παρὰ τῷ Ἀνακρέοντι δὲ ὡσαύτως, παρά τε αὖ τῷ Μενάνδρῳ μυρία ἂν εὕροις τοιαῦτα καὶ γυναῖκας λεγούσας καὶ νεανίσκους ἐρῶντας, καὶ μαγείρους καὶ παρθένους θρυπτομένας καί τινας ἄλλους.

519.

Athen. XIII, p. 594, D : ὅτι δὲ καὶ Μένανδρος ὁ ποιητὴς ἤρα Γλυκέρας κοινόν. ἐνεμεσήθη δέ· Φιλήμονος γὰρ ἑταίρας ἐρασθέντος καὶ χρηστὴν (« fortasse præstat scribi Χρήστην. » *Mein.*) ταύτην ὀνομάσαντος διὰ τοῦ δράματος, ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς.

520.

Joannes Lydus De mensib. p. 277 ed. Has. : ἐν τῷ κατ' αὐτὸν (Κρόνον) ἱερῷ, ὥς φησι Φύλαρχος καὶ Μένανδρος, οὔτε γυνὴ οὔτε [κύων οὔτε] μυῖα εἰσῄει. « Vid. Lobeck. Aglaoph. p. 1095. Dubito num Menander intelligi debeat comicus. ». *Mein.*

521.

Schol. Vat. ad Hom. Il. B, 80 : ... φιλοσόφου ἐνθυμήματι χρῆται, πιστεύσας τῷ ὀνείρῳ, ὁποῖόν τι Μένανδρος ἐπεφώνει εἰπών· « Ἃ γὰρ μεθ' ἡμέραν τις ἐσπούδασε, ταῦτ' εἶδεν νύκτωρ. » Quæ sic digessit Piccolos (*Supplément à l'Anth. grecque*, p. 324) :

Ἃ γὰρ μεθ' ἡμέραν τις ἐσπούδαζ' [ἔχων],
ταῦτ' εἶδε νύκτωρ.

Pag. 104. Alias sententias monostichos viginti novem, ex Vindobonensi codice ductas, edidit Meinekius p. 356 voluminis IV, sive p. 1060 edit. minoris. Novas ferme quadraginta nuper addidit doctus Græcus Piccolo, ex Laurentianis codicibus delectas, in *Supplément à l'Anthologie grecque* (Paris. 1853), pag. 227 et 230.

516.
Amabam; fateor; atque etiam nunc amo

521.
Nam quæ quis interdiu agitabat sedulo,
hæc noctu videt in somnis.

PHILEMO.

ΣΙΚΕΛΙΚΟΣ.

Pag. 116 adde : Schol. Eurip. Rhes. 248 (p. 296 Cob.) : τῆς « ἔσχατος Μυσῶν » παροιμίας μέμνηται Φιλήμων ἐν σκελετῷ (L. Dindorf. Σικελικῷ)·

[4] Τὸ δὴ λεγόμενον τοῦτο, Μυσῶν ἔσχατον
ἐνόμιζ' ὁρᾶν τὸν υἱὸν ἐκπλέονθ' ὁρῶν.

INCERTARUM FABULARUM FRAGMENTA.

39.

Sic amplificatum exhibent codices Parisini duo :

Κἂν δοῦλος ᾖ τις, σάρκα τὴν αὐτὴν ἔχει·
φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτὲ
[ἀπὸ τοῦ πάλαι πλάσαντος ἀνθρώπων γένος·
ἴσην δὲ πάντων διάθεσιν τοῦ σώματος
ἐποίησεν οὗτος ὡς ἐλευθέρου γένους,
Ἐλευθέρους ἐποίησε πάντας τῇ φύσει,
δοῦλον δὲ μετεποίησεν ἡ πλεονεξία·]
ἡ δ' αὖ τύχη τὸ σῶμα κατεδουλώσατο.

Codicum vitia v. 3 τὸ ἀνθρώπινον γένος, v. 5 ἐποίησεν ὄντως ὡς ἐλεύθερον γένος, v. 6 ἐλευθέρους οὖν ἅπαντας ἐποίησε, v. 7 δοῦλον τὲ emendavit Dübnerus. Ejusdem farinæ ex his libris alia plura proferre poteramus, quæ nihil ad Philemonem.

41.

Quattuor versibus auctum præbet Florileg. Vat. manuscriptum ap. Maium Collect. Scriptt. vett. vol. II, p. XXVII.

Ἃν οἷσιν ἔχομεν, τούτοις μηδὲ χρώμεθα,

SICULUS.
4.
Illud quod proverbio fertur, Mysorum ultimum
videre se putabat, solvere videns filium.

INCERTARUM FABULARUM FRAGMENTA.
41.
Si, quæ habemus, iis non utimur,

ἃ δ' οὐκ ἔχομεν ζητῶμεν, ὧν μὲν διὰ τύχην,
ὧν δὲ δι' ἑαυτοὺς ἐσόμεθ' ἐστερημένοι·
εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος,
μηδὲν δ' ὅμως τι τῶν καλῶν πειράσεται,
ἐγὼ μὲν αὐτὸν οὔποτ' ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.

V. 1 liber Vat. οἷς ἔχομεν, Stob. et Antonius οἷς ἔχομεν.

135.

Joannes Alex. De accent. p. 25, 4 : συνεκλείπει τῇ εὐθείᾳ (σεαυτό) ἡ αἰτιατική. εἰ δὲ ἅπαξ που παρ' Εὐριπίδῃ εὕρηται τὸ σεαυτό ... καὶ παρὰ Φιλήμονι τὸ αὐτό (σαυτό Meinek.), ἀλλ' οὐ τὸ σπάνιον τῶ ὅλου (τοὺς καθόλου Piccolos) κατέστησε κανόνας.

---

quæ autem non habemus, quærimus, aliis quidem [per fortunam,
aliis vero per nosmet ipsos spoliabimur :
tum, si fortunatus aliquis et rem habens
nihil tamen quicquam præclari experietur,
eum ego nunquam dicam felicem,
sed custodem potius divitiarum beatum.



INDEX POETARUM.

A littera designat comœdiam *Antiquam*, M littera *Mediam*, N littera *Novam*, I littera *Poetas Incertæ Ætatis*. Asteriscos lectionibus incertis præposuimus; quas addidimus interpretationes, litteris, quæ dicuntur italicæ, exarandas curavimus.

INDEX FABULARUM.

E.

Z.

P.

Σ

Ω.



INDEX NOMINUM ET RERUM.

A.

D.

E.

F.

G.

J.

L.

N.

O.

P.

R.

S.

